17. τὸ ἀδιάφορον a. τὸ ἀδιάφθορον FM. frustra Guyotus et Faber haec graviter corrupta esse putarunt. immo illo nomine cynici alieni judicii contemtionem appellare solebant, ut patet vel ex Hermotim. c. 18. πολλῷ νεανικώτερα] ita correxi. libri πολλὰ νεανικώτερα. vide De Conscr. Hist. c. 21, Icaromen. c. 29 et Deor. Conc. c. 10, ubi est: καὶ ἄλλα πολλῷ γελοιότερα. θαυματοποιῶν a. θαυμαστοποιῶν F.

νικώτερα θαυματοποιῶν. 18. ἐκεῖθεν δὲ οὕτω παρεσκευασμένος εἰς Ἰταλίαν ἔπλευσε καὶ ἀποβὰς τῆς νεὼς εὐθὺς ἐλοιδορεῖτο πᾶσι καὶ μάλιστα τῷ βασιλεῖ πρᾳότατον αὐτὸν καὶ ἡμερώτατον εἰδώς· ὥστε ἀσφαλῶς ἐτόλμα. ἐκείνῳ γάρ, ὡς εἰκός, ὀλίγον ἔμελε τῶν βλασφημιῶν καὶ οὐκ ἠξίου τὴν φιλοσοφίαν ὑποδυόμενόν τινα κολάζειν ἐπὶ ῥήμασι καὶ μάλιστα τέχνην τὸ λοιδορεῖσθαι πεποιημένον. τούτῳ δὲ καὶ ἀπὸ τούτων τὰ τῆς δόξης ηὐξάνετο παρὰ γοῦν τοῖς ἰδιώταις, καὶ περίβλεπτος ἦν ἐπὶ τῇ ἀπονοίᾳ, μέχρι δὴ ὁ τὴν πόλιν ἐπιτετραμμένος ἀνὴρ σοφὸς ἀπέπεμψεν αὐτὸν ἀμέτρως ἐντρυφῶντα τῷ πράγματι, ἐπειπὼν μὴ δεῖσθαι τὴν πόλιν τοιούτου φιλοσόφου.
* πλὴν ἀλλὰ καὶ τοῦτο κλεινότατον καὶ διὰ στόματος 343
ἦν ἅπασιν, ὁ φιλόσοφος διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν ἐξελαθεὶς καὶ προσελαύνων κατὰ ταὐτὸ τῷ Μουσωνίῳ καὶ Δίωνι καὶ Ἐπικτήτῳ καὶ εἴ τις ἄλλος ἐν περιστάσει τοιαύτῃ ἐγένετο. 19. οὕτω δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν ἄρτι μὲν Ἠλείοις ἐλοιδορεῖτο, ἄρτι δὲ τοὺς Ἕλληνας ἔπειθεν ἀντάρασθαι ὅπλα Ῥωμαίοις, ἄρτι

---

18. εἰς Ἰταλίαν] ita correxi. libri ἐπὶ Ἰταλίαν. τὴν φιλοσοφίαν F. φιλοσοφίαν a. libri τέχνην τινά. sed τινὰ delevi in Praefat. ad Quaestt. Luc. p. XXVI, quod omnes secuti sunt. ηὐξάνετο παρὰ γοῦν τοῖς ἰδιώταις,] interpungebatur: ηὐξάνετο. παρὰ γοῦν τοῖς ἰδιώταις libri εἰπών, sed correxi ἐπειπών, ut Luciani usus postulat. idem error in Conviv. c. 48 codicis ope sublatus est. κλεινότατον] ita correxi. libri κλεινὸν αὐτοῦ, sed αὐτοῦ absurdum est. tu vide Pro Lapsu in Sal. c. 6 fin: τὸ γνωριμώτατον ἐκεῖνο καὶ πᾶσι διὰ στόματος. libri ἐξελαθείς. καὶ προσήλαυνε. at hoc postremum Lucianus cum ejusdem stirpis verbo ἐξελαθεὶς arcte conjunxerat, quod nunc ab eodem male disjunctum est. hinc correxi ἐξελαθεὶς καὶ προσελαύνων h. e. „et navem appellens eodem modo quo Musonius“ scil. ut exul. continuo enim haec sequuntur: οὕτω δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν —. vide Cataplum c. 18: προσελάσαντες. libri κατὰ τοῦτο (τούτῳ lemma scholii). recte κατὰ ταὐτὸ Guyetus solus.

19. Ἠλείοις fortasse corruptum est. nam repugnare videntur inferiora c. 41: εἰκόνας — ἀναστησομένας. ἔπειθεν ἀντάρασθαι ὅπλα] haec quidem ferri posse concedo: quanquam Lucianus alibi ἀντάρεσθαι semper sine accusativo posuit. magis Lucianeum est: ἔπειθεν ἐναντία ἄρασθαι ὅπλα, sicut est in Jov. Trag. c. 3.

δὲ ἄνδρα παιδείᾳ καὶ ἀξιώματι προὔχοντα, διότι ἐν τοῖς
ἄλλοις οἷς εὖ ἐποίησε τὴν Ἑλλάδα καὶ ὕδωρ ἐπήγαγε τῇ
Ὀλυμπίᾳ καὶ ἔπαυσε δίψει ἀπολλυμένους τοὺς πανη-
γυριστάς, κακῶς ἠγόρευεν ὡς καταθηλύναντα τοὺς Ἕλ-
ληνας, δέον τοὺς θεατὰς τῶν Ὀλυμπίων διακαρτερεῖν
διψῶντας καὶ νὴ Δία γε καὶ ἀποθνήσκειν πολλοὺς αὐ-
τῶν ὑπὸ σφοδρῶν τῶν νόσων, αἳ τέως διὰ τὸ ξηρὸν τοῦ
344 * χωρίου ἐν πολλῷ τῷ πλήθει ἐπεπόλαζον· καὶ ταῦτα
ἔλεγε πίνων τοῦ αὐτοῦ ὕδατος. ὡς δὲ μικροῦ κατέλευσαν
αὐτὸν ἐπιδραμόντες ἅπαντες, τότε μὲν ἐπὶ τὸν Δία κα-
ταφυγὼν ὁ γενναῖος εὕρετο τὸ μὴ ἀποθανεῖν, 20. ἐς δὲ
τὴν ἑξῆς Ὀλυμπιάδα λόγον τινὰ διὰ τεττάρων ἐτῶν συν-
θεὶς τῶν διὰ μέσου ἐξήνεγκε πρὸς τοὺς Ἕλληνας, ἔπαι-
νον τοῦ τὸ ὕδωρ ἐπαγαγόντος καὶ ἀπολογίαν ὑπὲρ τῆς
τότε φυγῆς. ἤδη δὲ ἀμελούμενος ὑφ' ἁπάντων καὶ μη-
κέθ' ὁμοίως περίβλεπτος ὤν, (ἕωλα γὰρ ἦν ἅπαντα καὶ
οὐδὲν ἔτι καινουργεῖν ἐδύνατο, ἐφ' ὅτῳ ἐκπλήξει τοὺς
ἐντυγχάνοντας καὶ θαυμάζειν καὶ πρὸς αὐτὸν ἀποβλέπειν
ποιήσει, οὗπερ ἐξ ἀρχῆς δριμύν τινα ἔρωτα ἐρῶν ἐτύγχανε)
τὸ τελευταῖον τοῦτο τόλμημα ἐβουλεύσατο τὸ περὶ τῆς

διότι ἐν τοῖς ἄλλοις οἷς εὖ] ita correxi. libri διότι καὶ ἐν τοῖς ἄλλοις εὖ —. vide Alexandr. c. 5 init. et Fugitiv. c. 7 init. ἐποίησε F. ἐποίησεν a. ἀπολλυμένους a. ὀλλυμένους F. καὶ ἀποθνήσκειν a. sed F incertum ἀποθνήσκειν habeat an ut vulgo καὶ ἀποθνήσκειν. ἐν πολλῷ τῷ πλήθει] pro his minime scribendum videtur ἐν πολλῷ τῷ πνίγει, licet de eadem re ita dictum sit in Lucian. Herodoto c. 8. libri εὗρε τὸ μὴ ἀποθανεῖν vitiose. Cobetus V. L. p. 85 et p. 209 εὕρετο μὴ ἀποθανεῖν conjecit partim recte. ego articulo servato εὕρετο τὸ μὴ ἀποθανεῖν scribere malui, ut est in Piscat. c. 15: μόγις γοῦν εὑρόμην πολλὰ ἱκετεύσας τὸ σοὶ φυλαχθῆναι τὴν δίκην.

20. λόγον τινὰ] λόγον ἕνα Bekker conjecit. at tum hoc ordine, ἕνα λόγον opus erat. libri ἔπαινον ὑπὲρ τοῦτο ὕδωρ. Guyeti et Fabri conjecturam ἔπαινον ὑπὲρ τοῦ τὸ ὕδωρ omnes receperunt, partim recte. at etiam ὑπὲρ (quod ex inferioribus ἀπολογίαν ὑπὲρ natum est) expungere debebant. correxi igitur, ἔπαινον τοῦ τὸ ὕδωρ —. καινουργεῖν a. κακουργεῖν F. πρὸς αὐτὸν] libri πρὸς αὐτόν. ἐξ ἀρχῆς Jacobitius. libri ἐξαρχῆς. ἐβουλεύσατο τὸ περὶ Halmius. libri ἐβουλεύσατο περὶ —.

πυρᾶς, καὶ διέδωκε λόγον ἐς τοὺς Ἕλληνας εὐθὺς ἀπ' Ὀλυμπίων τῶν ἔμπροσθεν ὡς ἐς τοὐπιὸν καύσων ἑαυτόν. 21. καὶ νῦν αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι, βόθρον ὀρύττων καὶ ξύλα συγκομίζων καὶ δεινήν τινα τὴν καρτερίαν ὑπισχνούμενος. ἐχρῆν δέ, οἶμαι, μάλιστα μὲν περιμένειν τὸν θάνατον καὶ μὴ δραπετεύειν ἐκ τοῦ βίου· εἰ δὲ καὶ πάντως διέγνωστό οἱ ἀπαλλάττεσθαι, * μὴ πυρὶ μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆ- 345
σθαι, ἀλλ' ἕτερόν τινα θανάτου τρόπον μυρίων ὄντων ἑλόμενον ἀπελθεῖν. εἰ δὲ καὶ τὸ πῦρ ὡς Ἡράκλειόν τι ἀσπάζεται, τί δή ποτε οὐχὶ κατὰ σιγὴν ἑλόμενος ὄρος εὔδενδρον ἐν ἐκείνῳ ἑαυτὸν ἐνέπρησε μόνος ἕνα τινὰ οἷον Θεαγένη τουτονὶ Φιλοκτήτην παραλαβών; ὁ δὲ ἐν Ὀλυμπίᾳ τῆς πανηγύρεως πληθούσης [καὶ] μόνον οὐκ ἐπὶ σκηνῆς ὀπτήσει ἑαυτόν, οὐκ ἀνάξιος ὢν μὰ τὸν Ἡρακλέα, εἴ γε χρὴ καὶ τοὺς πατραλοίας καὶ τοὺς ἀθέους δίκας διδόναι τῶν τολμημάτων. καὶ κατὰ τοῦτο πάνυ ὀψὲ δρᾶν αὐτὸ ἔοικεν, ὃν ἐχρῆν πάλαι ἐς τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα τὴν ἀξίαν ἀποτετικέναι, ἀλλὰ μὴ ἅπαξ πρὸς τὴν φλόγα χανόντα ἐν ἀκαρεῖ τεθνάναι. καὶ γὰρ αὖ καὶ τόδε πολλοί μοι λέγουσιν, ὡς οὐδεὶς ὀξύτερος ἄλλος θανάτου τρόπος τοῦ διὰ πυρός· ἀνοῖξαι γὰρ δεῖν μόνον τὸ στόμα, καὶ αὐτίκα τεθνάναι.

---

21. θαυματοποιεῖ a. θαυμαστοποιεῖ F. φασι F. φασιν a. μόνος ἕνα τινὰ] malim, ἕνα τινὰ μόνον. Θεαγένη τουτονὶ] ita correxi. libri Θεαγένη τοῦτον. vide si opus Cobetum V. L. p. 229. μόνον οὐκ ἐπὶ σκηνῆς] ante haec verba ego καὶ vocem addidi, ut Lucianus solet v. c. in Bis Accus. c. 27 init., Alexand. c. 32, Fugitiv. c. 3, De Merc. Cond. c. 34, Pro Merc. Cond. c. 4.

libri ἅπαξ χανόντα (γρ. χανέντα X) πρὸς τὴν φλόγα. quae ita transposui: ἅπαξ πρὸς τὴν φλόγα χανόντα partim ob superioris membri concinnitatem: ἐς τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα, partim et maxime quidem ob nostri loci fundum ab Solano monstratum Hom. Od. μ', 350: βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι. καὶ τόδε πολλοὶ] ita correxi. libri καὶ τόδε οἱ πολλοί. ἀνοῖξαι γὰρ δεῖν] ita correxi. libri ἀνοῖξαι γὰρ δεῖ, quo servato pergendum erat, καὶ αὐτίκα τέθνηκέ τις, non τεθνάναι, quem infinitivum in Quaestt. Luc. p. 132 frustra excusare studui. at nunc infinito δεῖν reposito alterius quoque membri infinitivus

22. *τὸ μέντοι θέαμα ἐννοεῖτε ὡς σεμνὸν, ἐν ἱερῷ χωρίῳ*
καιόμενος ἄνθρωπος, ἔνθα μηδὲ θάπτειν ὅσιον τοὺς
ἄλλους ἀποθνήσκοντας. ἀκούετε δὲ, οἶμαι, ὡς καὶ πάλαι
346 *θέλων τις ἔνδοξος γενέσθαι, ἐπεὶ κατ' ἄλλον * τρόπον*
οὐκ εἶχεν ἐπιτυχεῖν τούτου, ἐνέπρησε τῆς Ἐφεσίας Ἀρ-
τέμιδος τὸν νεών. τοιοῦτόν τι καὶ αὐτὸς ἐπινοεῖ· τοσοῦ-
τος ὁ ἔρως τῆς δόξης ἐντέτηκεν αὐτῷ. **23.** *καίτοι φησὶν,*
ὅτι ὑπὲρ τῶν ἀνθρώπων αὐτὸ δρᾶν . . . ., ὡς διδάξειεν
αὐτοὺς θανάτου καταφρονεῖν καὶ ἐγκαρτερεῖν τοῖς δει-
νοῖς. ἐγὼ δὲ ἡδέως ἂν ἐροίμην οὐκ ἐκεῖνον ἀλλ' ὑμᾶς,
εἰ καὶ τοὺς κακούργους βούλοισθε ἂν μαθητὰς αὐτοῦ
γενέσθαι τῆς καρτερίας ταύτης καὶ καταφρονεῖν θανάτου
καὶ καύσεως καὶ τῶν τοιούτων δειμάτων; ἀλλ' οὐκ ἂν
εὖ οἶδ' ὅτι βουληθείητε. πῶς οὖν ὁ Πρωτεὺς τοῦτο δια-
κρινεῖ καὶ τοὺς μὲν χρηστοὺς ὠφελήσει, τοὺς δὲ πονη-
ροὺς οὐ φιλοκινδυνοτέρους καὶ τολμηροτέρους ἀποφανεῖ;
24. *καίτοι δυνατὸν ἔστω ἐς τοῦτο μόνους ἀπαντήσεσθαι*
τοὺς πρὸς τὸ ὠφέλιμον ὀψομένους τὸ πρᾶγμα. ὑμᾶς

τεθνάναι recte habet. „os tantum, inquit, homini dicunt aperiendum esse tumque eum statim exspirasse."

22. libri *ἐπινοεῖται, οἶμαι, ὡς.* pro *ἐπινοεῖται* Halmius *ἐπινενόηται* male conjecit, sed verissime Bekker *ἐννοεῖτε.* praeterea ego verbum *οἶμαι* delevi, quod ex inferioribus: *ἀκούετε δὲ, οἶμαι* ortum, hic vero inepte additum est, ut ex v. *ἐννοεῖτε* apparet, qui est imperativus. vide vel infra c. 41 init. *ἐννόει.* ita saepe Lucianus incipit *εἶτ' ἐννόησον* et *καί μοι ἐννόησον* et *νῦν μοι ἐννοήσατε.* *καιόμενος*] *κάομενος* Dindorfius. *πάλαι θέλων*] recte opinor Dindorfius: *πάλαι ἐθέλων.* *τοσοῦτος ὁ ἔρως*] ita correxi. libri *τοσοῦτος ἔρως.* vide supra c. 1: *τοσούτῳ ἄρα τῷ ἔρωτι τῆς δόξης εἴχετο.*

23. *δρᾶν . . . ., ὡς*] *δρᾶν ὡς* F. *δρᾷ, ὡς* a et vulgo. recepto infinitivo indicavi lacunam, quam ita suppleo: *δρᾶν* [*βούλεται,*] *ὡς.* *καύσεως* FM. *κακώσεως* a. *διακρινεῖ*] ita scripsi in Quaestt. Luc. p. 66. libri *διακρίνει.* *φιλοκινδυνοτέρους*] ita scripsi eodem loco. libri *φιλοκινδυνωτέρους.* *τολμηροτέρους* a. *τολμηρωτέρους* F.

24. *ἐς τοῦτο*] corrigo, *ἐπὶ τοῦτο.* Lucianus enim *ἀπαντᾶν ἐπί τι* dicere solet, ut olim in Epist. cr. 1. p. XVI observavi. *μόνους* libri, etiam F, de quo errat Jacobitius. *τοὺς πρὸς τὸ* a. *τοὺς τὸ* F. libri *ἐρήσομαι.* at malim *ἐρήσομαι, εἰ,* quod quum

*δ' οὖν αὖθις ἐρήσομαι, δέξαισθ' ἂν τοὺς παῖδας ὑμῶν
ζηλωτὰς * τοῦ τοιούτου γενέσθαι; οὐκ ἂν εἴποιτε. καὶ* 347
*τί τοῦτο ἠρόμην, ὅπου μηδ' αὐτῶν τις τῶν μαθητῶν
αὐτὸν ζηλώσειεν ἄν; τὸν γοῦν Θεαγένη τοῦτο μάλιστα
αἰτιάσαιτο ἄν τις, ὅτι τἆλλα ζηλῶν τἀνδρὸς οὐχ ἕπεται
τῷ διδασκάλῳ καὶ συνοδεύει παρὰ τὸν Ἡρακλέα, ὥς
φησιν, ἀπιόντι, δυνάμενος ἐν βραχεῖ πανευδαίμων γε-
νέσθαι συνεμπεσὼν ἐπὶ κεφαλὴν ἐς τὸ πῦρ. οὐ γὰρ ἐν
πήρᾳ καὶ βάκτρῳ καὶ τρίβωνι ὁ ζῆλος, ἀλλὰ ταῦτα μὲν
ἀσφαλῆ καὶ ῥᾴδια καὶ παντὸς ἂν εἴη, τὸ τέλος δὲ καὶ
τὸ κεφάλαιον χρὴ ζηλοῦν καὶ πυρὰν συνθέντα κορμῶν
συκίνων ὡς ἔνι μάλιστα χλωρῶν ἐναποπνιγῆναι τῷ καπνῷ.
τὸ πῦρ γὰρ αὐτὸ οὐ μόνον Ἡρακλέους καὶ Ἀσκληπιοῦ
ἀλλὰ καὶ τῶν ἱεροσύλων καὶ ἀνδροφόνων, οὓς ὁρᾶν ἔστιν
ἐκ καταδίκης αὐτὸ πάσχοντας. ὥστε ἄμεινον τὸ διὰ
τοῦ καπνοῦ· ἴδιον γὰρ Κυνικῶν μόνων ἂν γένοιτο.* 25.
*ἄλλως τε ὁ μὲν Ἡρακλῆς, εἴπερ ἄρα καὶ * ἐτόλμησέ τι* 348
*τοιοῦτον, ὑπὸ νόσου αὐτὸ ἔδρασεν ὑπὸ τοῦ Κενταυρείου
αἵματος, ὥς φησιν ἡ τραγῳδία, κατεσθιόμενος. οὗτος
δὲ τίνος αἰτίας ἕνεκεν ἐμβάλλει φέρων ἑαυτὸν εἰς τὸ
πῦρ; νὴ Δί', ὅπως τὴν καρτερίαν ἐπιδείξηται καθάπερ*

in prima interrogatione c. 23 init. positum sit, in altera concinne sequetur. adde Hermotim. c. 80 init. et locos ab Akenio (Lehre von Tempus cet. p. 215 sq.) collectos. *δέξαισθ' ἂν* F. *δέξασθ' ἂν* a. *τοὺς παῖδας ὑμῶν* F. *ὑμῶν τοὺς παῖδας* a. *καὶ τί*] *καίτοι τί* Lehmaunus. vide quae dixi in Epist. cr. p. XXI et Wyttenbachium ad Julianum p. 141 sq. ed. Lips. *αὐτὸν*] ita correxi. libri *αὐτοῦ*. *γοῦν* Bekker. libri *οὖν*. *συνεμπεσὼν* F. *συμπεσὼν* M. *καὶ συμπεσὼν* a. libri *ἐπὶ κεφαλῆς*. Jacobitius *ἐπὶ κεφαλὴν*, de quo dixi ad l. De Conscr. Hist. c. 12. *συνθέντα* a. *συντιθέντα* (syllaba *τι* a p m duobus punctis supra oxpungitur) F. *συκίνων* F. *σικύνων* a. libri *καὶ ὑμῶν*, pro quo Faber et alii *καὶ κυνῶν* scripsere (voluerunt *κυνῶν*). ego *Κυνικῶν* ponere malui. vulgata mendosa est, in qua *ὑμῶν* pronomen, quod ad auditores referendum esset, si quis servatum voluerit, is suppleat: *ἴδιον γὰρ ὑμῶν μόνων [τὸ θέαμα] ἂν γένοιτο* et conferat c. 22 init.

25. *κενταυρείου* F. *Κενταυρίου* a. *ἠξίου Θεαγένης αὐτὸν*] ita scripsi. *ἠξίου Θεαγένης ἑαυτὸν* F. *ἑαυτὸν ἠξίου Θεαγένης* a,

οἱ Βραχμᾶνες· ἐκείνοις γὰρ ἠξίου Θεαγένης αὐτὸν εἰκά-
ζειν, ὥσπερ οὐκ ἐνὸν εἶναί τινας καὶ ἐν Ἰνδοῖς μωροὺς
καὶ κενοδόξους ἀνθρώπους. ὅμως δ' οὖν κἂν Ἰνδοὺς
μιμείσθω· ἐκεῖνοι γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς
Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης ἰδὼν Κάλανον
καόμενόν φησιν, ἀλλ' ἐπειδὰν πυρὰν νήσωσι πλησίον
349 παραστάντες * ἀκίνητοι ἀνέχονται παροπτώμενοι, εἶτ'
ἐπιβάντες κατὰ σχῆμα κάονται οὐδ' ὅσον ὀλίγον ἐκτρέ-
ψαντες τῆς κατακλίσεως. οὗτος δὲ τί μέγα, εἰ ἐμπεσὼν
τεθνήξεται συναρπασθεὶς ὑπὸ τοῦ πυρός; οὐδ' ἀνέλ-
πιστός εἰμι ἀποπηδήσεσθαι αὐτὸν καὶ ἡμίφλεκτον, εἰ

unde Faber caeterique αὐτὸν ἠξίου Θεαγένης ediderunt. εἶναί τινας καὶ ἐν ἰνδοῖς F. καὶ ἐν Ἰνδοῖς εἶναί τινας a. κἂν Ἰνδοὺς μιμείσθω· ἐκεῖνοι] ita correxi. libri. κἂν ἐκείνους μιμείσθω· ἐκεῖνοι, pronomine eodem male bis posito. Κάλανον] κάλαμον (ut videtur) F. libri ἐπειδὰν νήσωσι. correxi cum uno Guyeto, ἐπειδὰν πυρὰν νήσωσι, ut de eadem re Plutarchus scripsit in Alexandro c. 69. κάονται Bekker. καίονται F. καίονται a. ἐκτρέψαντες Faber. libri ἐντρέψαντες et hoc loco et de eadem re in Fugitiv. c. 7 ἐντρέποντες. quo servato olim conjeceram hoc loco, ut permirum istuc κατὰ σχῆμα removerem: ἐπιβάντες κατακάονται, οὐδ' ὅσον ὀλίγον ἐντρέψαντες τὸ σχῆμα τῆς κατακλίσεως et in Fugitiv. c. 7 conjeceram: ἀνέχονται καόμενοι, οὐδὲν τὸ σχῆμα τῆς καθέδρας ἐντρέποντες. similiter de hoc ipso Calano Plutarchus in Alexand. c. 69 fin: ἐν ᾧ κατεκλίθη σχήματι, τοῦτο διατηρῶν. de ejusdem Calani morte corrige Arrianum Anabas. VII, 3, 5: οὕτω δὴ ἐπιβάντα τῇ πυρᾷ κατακλιθῆναι μὲν ἐν κόσμῳ — θαῦμα παρασχέσθαι οὐδέν τι παρακινήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος, corrige inquam, τοῦ σχήματος et de harum vocum in codd. confusione vide Hemsterhusium ad Luc. Somnium c. 8 init. libri, οὗτος δὲ τί μέγα, εἰ, in quibus Guyetus jure haesit, qui ποιεῖ supplebat. ego suppleo: οὗτος δὲ τί μέγα [τοῦτο ποιήσει,] εἰ —. vide D. Meretr. XII, 2: οὐ μέγα, ὦ Λυσία, τοῦτο ποιεῖς, γύναιον ἄθλιον λυπῶν et Fugitiv. c. 7: ἀλλ' οὐ μέγα τοῦτό γε. οὐδ' ἀνέλπιστός εἰμι] ita correxi. libri οὐκ ἀπ' ἐλπίδος μὴ —. vide Thucydidem VIII, 1: ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι. ἀναπηδήσεσθαι a. ἀναπηδήσεσθαι F. (α supra) correxi, ἀποπηδήσεσθαι. nam „resilire et ab incepto desistere" nusquam est ἀναπηδᾶν sed saepius ita dicitur ἀποπηδᾶν. alibi ἀποπηδᾶν τινος est „aliquem deserere", ut in Xenoph. Memorab. I, 2, 16, ubi Ruhnkenius apte contulit Libanium Ep. 79. Gronovius h. l.

μὴ, ὅπερ φασὶ, μηχανήσεται βαθεῖαν γενέσθαι καὶ ἔμ-
βοθρον τὴν πυράν. 26. *εἰσὶ δ' οἳ καὶ μεταβουλεύεσθαί*
φασιν αὐτὸν καί τινα ὀνείρατα διηγεῖσθαι, ὡς τοῦ Διὸς
οὐκ ἐῶντος μιαίνειν ἱερὸν χωρίον. ἀλλὰ θαρρείτω τούτου
γε ἕνεκα· ἐγὼ γὰρ διομοσαίμην ἂν, ἦ μὴν μηδένα τῶν
*θεῶν ἀγανακτήσειν, εἰ * Περεγρῖνος κακὸς κακῶς ἀπο-* 350
θάνοι. οὐ μὴν οὐδὲ ῥᾴδιον αὐτῷ ἔτ' ἀναδῦναι· οἱ γὰρ
συνόντες κύνες παρορμῶσι καὶ συνωθοῦσιν ἐς τὸ πῦρ
καὶ ὑπεκκάουσι τὴν γνώμην οὐκ ἐῶντες ἀποδειλιᾶν· ὧν
εἰ δύο συγκατασπάσας ἐμπέσοι εἰς τὴν πυρὰν, τοῦτο
μόνον χάριεν ἂν ἐργάσαιτο. 27. *ἤκουον δὲ ὡς οὐδὲ*
Πρωτεὺς ἔτι καλεῖσθαι ἀξιοῖ, ἀλλὰ Φοίνικα μετωνόμα-
σεν ἑαυτὸν, ὅτι καὶ φοῖνιξ τὸ Ἰνδικὸν ὄρνεον ἐπιβαίνειν
πυρᾶς λέγεται πορρωτάτω γήρως προβεβηκώς. ἀλλὰ καὶ
λογοποιεῖ καὶ χρησμούς τινας διέξεισι παλαιοὺς δὴ, ὡς
χρεὼν εἴη δαίμονα νυκτοφύλακα γενέσθαι αὐτὸν, καὶ

---

saltem non *μεταναπηδήσεσθαι*, sed *μεταπηδήσεσθαι* coujicere debebat, quod etsi ab re alienum tamen usitatum est et exstat in Abdicato c. 9 et Demosth. Encom. c. 18. *καὶ ἔμβοθρον*] ita correxi. libri *καὶ ἐν βόθρῳ* mendose. praegressum enim adjectivum *βαθεῖαν* item adjectivum poscit. quae in fovea vel in fossa sunt, ea *ἔμβοθρα* ab Theophrasto H. Pl. IX, 3 aliisque dicuntur.

26. *μεταβουλεύεσθαί*] ita coujeci. *μεταβάλέσθαι* F. *μεταβάλλεσθαι* a. de eodem facinore supra c. 20 haec dicta sunt: *τὸ τελευταῖον τοῦτο τόλμημα ἐβουλεύσατο* —. *κακὸς κακῶς ἀποθάνοι*] ita correxi in Praef. ad Quaestt. Luc. p. XXVI idque omnibus fere probavi. sed Cobetus V. L. p. 209 praeterea conjecit: *κακὸς κακῶς ἀπόλοιτο.* at vide Philopseud. c. 20: *κακὸς κακῶς ἀπέθανε μαστιγούμενος*, D. Mort. V, 2: *κακοὶ κακῶς ἀποθανόντες.* tales loci minime rari sunt. *ὑπεκκάουσι* F. *ὑπεκκαίουσι* a. *ἂν ἐργάσαιτο* Jacobitius. libri *ἐργάσαιτο.*

27. *χρεὼν εἴη* Bekker. libri *χρεὼν εἶναι.* *δῆλός ἐστι* a. *δῆλος ἐστιν* (sic) F. *ἀναστήσεσθαι*] frustra Halmius *ἀνασταθήσεσθαι* hic et infra c. 41 conjecit forma parum attica, uti Cobetus V. L. p. 197 recte judicavit. tum veteris atticismi semper fuisse *χρυσοῦν ἱστάναι τινά*, pro quo Lucianum et Aelianum saepius *χρυσοῦν ἀνιστάναι τινά* dixisse primus recte observavit Hemsterhusius ad Luc. Timonem c. 51, unde sumtum Cobetus V. L. p. 197 et p. 210 repetiit.

δῆλός ἐστι βωμῶν ἤδη ἐπιθυμῶν καὶ χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων. 28. καὶ μὰ Δί' οὐδὲν ἀπεικὸς ἐν πολλοῖς τοῖς ἀνοήτοις εὑρεθήσεσθαί τινας τοὺς καὶ τεταρταίων ἀπηλλάχθαι δι' αὐτοῦ φήσοντας καὶ νύκτωρ ἐντετυχηκέναι τῷ δαίμονι τῷ νυκτοφύλακι. οἱ κατάρατοι δὲ οὗτοι μαθηταὶ αὐτοῦ καὶ χρηστήριον, οἶμαι, καὶ ἄδυτον
351 *ἐπὶ τῇ πυρᾷ μηχανήσονται, διότι καὶ * Πρωτεὺς ἐκεῖνος ὁ Διός, ὁ προπάτωρ τοῦ ὀνόματος, μαντικὸς ἦν. μαρτύρομαι δὲ ἦ μὴν καὶ ἱερέας αὐτῷ ἀποδειχθήσεσθαι μαστίγων ἢ καυτηρίων ἤ τινος τοιαύτης τερατουργίας, ἢ καὶ νὴ Δία τελετήν τινα ἐπ' αὐτῷ συστήσεσθαι νυκτέριον καὶ δᾳδουχίαν ἐπὶ τῇ πυρᾷ. 29. Θεαγένης δὲ ἔναγχος, ὥς μοί τις τῶν ἑταίρων ἀπήγγειλε, καὶ Σίβυλλαν ἔφη προειρηκέναι περὶ τούτων· καὶ τὰ ἔπη γὰρ ἀπεμνημόνευεν·*

ἀλλ' ὁπόταν Πρωτεὺς Κυνικῶν ὄχ' ἄριστος ἁπάντων
Ζηνὸς ἐριγδούπου τέμενος κάτα πῦρ ἀνακαύσας
ἐς φλόγα πηδήσας ἔλθῃ πρὸς μακρὸν Ὄλυμπον,
δὴ τότε πάντας ὁμῶς, οἳ ἀρούρης καρπὸν ἔδουσι,

---

28. *μὰ Δί'*] libri *μὰ Δία*. *ἐν πολλοῖς τοῖς*] ita correxi. libri *ἐν τοῖς πολλοῖς τοῖς*. *ἱερέας αὐτῷ*] ita correxi. *ἱερέας αὐποῦ* (ut videtur) F. *ἱερέας αὐτοῦ* a, quod ferri nequit ob genetivos insequentes. *καυτηρίων*] de hac re vide Lobeckium in Aglaoph. p. 658. *ἐπ' αὐτῷ* F. *ἐπαυτῷ* a. libri *στήσεσθαι*, pro quo Cobetus V. L. p. 209 recte scripsit *συστήσεσθαι*. vide si opus Alexandrum c. 38. *νυκτέριον* libri adjectivo mere poetico, quo Lucianus nusquam usus est. hinc pro *νυκτέριον* conjicio *νυκτερείων* et de sacris pervigiliorum accipio, quae attice *παννυχίδες* et *νυκτέλια ἱερά*, ab serioribus autem *νυκτερεῖα* dicuntur sive *νυκτερεῖαι*, ita ut h. l. etiam *νυκτερειῶν* scribere liceat. genetivi idem usus est in dictione *τελετὴ καθαρμῶν* al.

29. *Σίβυλλαν* Lehmannus. *σιβύλλαν* Fa. *Σιβύλλας* X. *καὶ τὰ ἔπη γὰρ*] Fugitiv. c. 25: *καὶ ἡ πόλις γὰρ ἤδη φαίνεται.* *ὄχ'* a. *ὀχ'* (ut videtur) F. *κάτα* Jacobitius pro *κατά* *ἔλθῃ* a. *ἔλθοι* F. *πρὸς μακρὸν Ὄλυμπον*] ita correxi. libri *ἐς μακρὸν Ὄλυμπον*. utrumvis Homericum est, alterum in Il. *σ'*, 142: *ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον | εἶμι* al. alterum in hemistichio: *ἀπέβη πρὸς μακρὸν Ὄλυμπον* et in Il. *α'*, 494: *καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν —*. ceterum in hisce oraculis bis (c. 29 et c. 30) legitur *ἀλλ' ὁπόταν — δὴ τότε*. cujus formulae multa ex oraculis exempla

νυκτιπόλον κέλομαι τιμᾶν ἥρωα μέγιστον
σύνθρονον Ἡφαίστῳ καὶ Ἡρακλῆϊ ἄνακτι.

30. *ταῦτα μὲν Θεαγένης Σιβύλλης ἀκηκοέναι * φησίν,* 352
ἐγὼ δὲ Βάκιδος αὐτῷ χρησμὸν ὑπὲρ τέτων ἐρῶ· φησὶ δὲ
ὁ Βάκις οὕτω, σφόδρα εὖ προειπών,

ἀλλ᾽ ὁπόταν Κυνικὸς πολυώνυμος ἐς φλόγα πολλὴν
πηδήσῃ δόξης ὑπ᾽ ἐρινύϊ θυμὸν ὀρινθείς,
δὴ τότε τοὺς ἄλλους κυναλώπεκας, οἵ οἱ ἕπονται,
μιμεῖσθαι χρὴ πότμον ἀποιχομένοιο λύκοιο.
ὃς δέ κε δειλὸς ἐὼν φεύγῃ μένος Ἡφαίστοιο,
λάεσσιν βαλέειν τῦτον τάχα πάντας Ἀχαιούς,
ὡς μὴ ψυχρὸς ἐὼν θερμηγορέειν ἐπιχειρῇ,
χρυσῷ σαξάμενος πήρην μάλα πολλὰ δανείζων,
ἐν καλαῖς Πάτραισιν ἔχων τρὶς πέντε τάλαντα.

τί ὑμῖν δοκεῖ, ἄνδρες; ἆρα φαυλότερος χρησμολόγος ὁ
Βάκις τῆς Σιβύλλης εἶναι; ὥστε ὥρα τοῖς θαυμαστοῖς
*τέτοις ὁμιληταῖς * τοῦ Πρωτέως περισκοπεῖν ἔνθα ἑαυ-* 353
τοὺς ἐξαερώσουσι· τοῦτο γὰρ τὴν καῦσιν καλοῦσι. 31.
ταῦτ᾽ εἰπόντος ἀνεβόησαν οἱ περιεστῶτες ἅπαντες „νὴ
Δία καέσθωσαν ἄξιοι τοῦ πυρός.“ καὶ ὁ μὲν κατέβη

---

collegit Lobeckius in Aglaoph. p. 842, quibus addo nostra et Aristophaneum in Eqq. v. 197 sqq. *κέλομαι τιμᾶν*] ita transposui. libri *τιμᾶν κέλομαι.* vide oracula in Alexandro c. 24 v. 1: *τιέμεναι κέλομαι,* ibid. c. 47: *πυρπολέειν κέλομαι,* ibid. c. 48 v. 2: *ἐσβαλέειν κέλομαι.* pro librorum scriptura frustra afferas Alexandr. c. 53: *κυτμίδι χρίεσθαι κέλομαι.*

30. *φησὶν ἐγὼ* F. *φησὶ ἐγὼ* a. *οὕτω* a. *οὕτως* F. *σφόδρα εὖ προειπὼν*] ita correxi. libri *σφόδρα εὖ ἐπειπών,* quod Gesner ita vertit: „praeclare adjiciens caeteris.“ quasi hoc oraculum non seorsim edatur, sed pro alius appendice haberi debeat. cum nostra emendatione confer Aeschyl. Pers. v. 449: *κακῶς τὸ μέλλον ἱστορῶν.* *ἐρινύϊ* Jacobitius pro *ἐριννύϊ.* *οἵ οἱ* a. *οἷοι* F. *φεύγῃ* correxi in Quaestt. Luc. p. 212. libri *φεύγει.* *λάεσσιν* Dindorfius pro *λάεσσι.* *βαλέειν* Benedictus in ed. Salmuriensi. libri *βαλλέειν.* *τρὶς* a. *τρεῖς* F (Ita F). *ἑαυτοὺς ἐξαερώσουσι*] cum dubitatione conjicio: *ἑαυτοὺς συνεξαερώσουσι.* vide Lydum De Mensibus III, 27 p. 44 ed. Bekker: *ὅτι τὰ τῶν νεκρῶν σώματα ἔκαιον οἱ παλαιοί, συνεξαιθεροῦντες αὐτὰ τῇ ψυχῇ.*

31. *νὴ Δία*] ita conjeci. libri *ἤδη,* quod defendi non potest.

γελῶν, „Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ," τὸν Θεαγένη, ἀλλ' ὡς ἤκουσε τῆς βοῆς, ἧκεν αὖθις καὶ ἀναβὰς ἐκεκράγει καὶ μυρία κακὰ διεξῄει περὶ τοῦ καταβεβηκότος· οὐ γὰρ οἶδα ὅστις ὁ βέλτιστος ἐκεῖνος ἐκαλεῖτο. ἐγὼ δὲ ἀφεὶς αὐτὸν διαρρηγνύμενον ἀπῄειν ὀψόμενος τοὺς ἀθλητάς· ἤδη γὰρ οἱ Ἑλλανοδίκαι ἐλέγοντο εἶναι ἐν τῷ πλεθρίῳ. ταῦτα μέν σοι τὰ ἐν Ἤλιδι· 32. *ἐπεὶ δὲ εἰς τὴν Ὀλυμπίαν ἀφικόμεθα, μεστὸς ἦν ὁ ὀπισθόδομος τῶν κατηγορούντων Πρωτέως ἢ ἐπαινούντων τὴν προαίρεσιν αὐτοῦ, ὥστε καὶ εἰς χεῖρας αὐτῶν ἦλθον οἱ πολλοί· ἄχρι δὴ παρελθὼν αὐτὸς ὁ Πρωτεὺς μυρίῳ τῷ πλήθει παραπεμπόμενος κατόπιν . . . . τοῦ τῶν κηρύκων*
354 *ἀγῶνος λόγους τινὰς * διεξῆλθε περὶ αὐτοῦ τὸν βίον τε ὡς . . . . ἐβίω καὶ τοὺς κινδύνους ὅσους ἐκινδύνευσε διη-*

καίοθωσαν Dindorfius. libri *καιίοθωσαν*. *Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ*] ex Il. ξ, 1. *ἧκεν αὖθις*] ita conjeci. libri *ἧκεν εὐθύς*. at ibidem ab eodem Theagene prior oratio (supra c. 3 sqq.) habita est. tum vide Aristoph. Pac. 219: *ἥξουσι καὖθις*. *Ἑλλανοδίκαι* a. *ἑλλανοδίκαι* F.

32. libri *κατόπιν τοῦ τῶν κ. ἀ.* absurde. ego post *κατόπιν* lacunae signa posui. desunt autem duo verba: *κατόπιν [ἑπομένῳ, ἀπὸ] τοῦ τῶν κ. ἀ.* h. l. *κατόπιν* adverbium est et *κατόπιν ἕπεσθαι* habet noster in Necyomant. c. 11, habent alii ut Aristoph. Plut. 1209 et in Tagenistis ap. Photium p. 13, 2. nostrum l. ab aliis non intellectum Palmerius in Exercc. p. 578 partim recte accepit, monens *τόν τῶν κηρύκων ἀγῶνα* eum locum fuisse, in quo praecones inter se certare solerent. post Palmerium Wielandius optime contulit Pausaniam V, 22, 1: *ἔστι δὲ βωμὸς ἐν τῇ Ἄλτει τῆς ἐσόδου πλησίον τῆς ἀγούσης ἐς τὸ στάδιον· ἐπὶ τούτου θεῶν μὲν οὐδενὶ θύουσιν Ἠλεῖοι, σαλπιγκταῖς δὲ ἐφεστηκόσιν αὐτῷ καὶ τοῖς κήρυξιν ἀγωνίζεσθαι καθέστηκε.* atqui vera h. l. sententia supplementum nostrum efflagitat. nam Peregrinus orationem habuit stans in ea ipsa ara, quam Pausanias supra descripsit. sic etiam alii in ara stantes concionati sunt, ut Alexander in Luc. Alexandro c. 13: *ἐδημηγόρει ἐπὶ βωμόν τινα ὑψηλὸν ἀναβὰς* et Gorgias in Pythico certamine ap. Philostrat. Vit. Soph. p. 493: *τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ ἤχησεν.* *περὶ αὐτοῦ* Reitzius. libri *περὶ αὐτοῦ.* libri *ὡς ἐβίω*, quibus verbis lacunae signum interposui. *ἐπίπονον* excidit: *ὡς [ἐπίπονον] ἐβίω.* vide Luc. Jov. Confut. c. 19. accedit quod voces *ἐπίπονος* et *κίνδυνος* conjungi solent, ut ab Xenoph. in Anabas. I, 3, 19. *ὅσους ἐκινδύνευσε*]

γούμενος καὶ ὅσα πράγματα φιλοσοφίας ἕνεκα ὑπέμεινε. τὰ μὲν οὖν εἰρημένα πολλὰ ἦν· ἐγὼ δὲ ὀλίγων ἤκουσα ὑπὸ πλήθους τῶν περιεστώτων. εἶτα φοβηθεὶς μὴ συντριβείην ἐν τοσαύτῃ τύρβῃ, ἐπεὶ καὶ πολλοὺς τοῦτο πάσχοντας ἑώρων, ἀπῆλθον μακρὰ χαίρειν φράσας θανατιῶντι σοφιστῇ τὸν ἐπιτάφιον ἑαυτοῦ πρὸ τελευτῆς διεξιόντι. 33. πλὴν τό γε τοσοῦτον ἐπήκουσα· ἔφη γὰρ βούλεσθαι χρυσῷ βίῳ χρυσῆν κορώνην ἐπιθεῖναι· χρῆναι

---

ita correxi. libri οὓς ἐκινδύνευον. φιλοσοφίας ἕνεκα] tolle hiatum et pro ἕνεκα scribe ἕνεκεν. μακρὰ Pelletus. libri μακρὰν

θανατιῶντι libri. θανατῶντι bene corrigit Cobetus V. L. p. 210 probante Dindorfio. certo atticum est θανατᾶν, alterum tamen diserte agnoscit Suidas s. Θανατᾶν uno etiam exemplo scriptoris incerti illius quidem, verumtamen serioris ejusque ut videtur historici allato. θανατᾶν adbuc dixit Libanius Vol. I p. 36 Reisk non magis quam θανατιᾶν attica sunt λιθιᾶν et βραγχιᾶν (vide Photium p. 223, 18) et ψωριᾶν (vide eundem p. 657, 17). ἑαυτοῦ a. αὐτοῦ F.

33. τό γε Gronovius egoque Praef. Quaestt. L. p. XXVI. libri τό τε. ἐπήκουσα a. ἤκουσα et in marg. γρ' ἐπήκουσα F.

χρυσῆν κορώνην ἐπιθεῖναι] Cobetus V. L. p. 210: „κορώνην] immo vero κορωνίδα ut omnes loquuntur et Lucianus ipse 25, 26." at immemor fuit Homeri Il. δ', 111 de arcu Pandari: πᾶν δ' εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην, immemor eorum quae ad hunc ipsum versum ab Eustathio p. 451, 14 tradita sunt: ἡ δὲ ὁμηρικὴ χρυσῆ κορώνη καὶ εἰς παροιμίαν ἔπεσε. καὶ ὁ ἀγαθὸν τέλος τοῖς φθάσασιν ἐπιθεὶς χρυσέην ἐπιθεῖναι τῷ παντὶ κορώνην λέγεται. ἡ δὲ χρυσῆ κορωνὶς ἴσως μὲν καὶ ἐκ ταύτης τῆς κορώνης ὑπεκορίσθη, ἴσως δὲ καὶ ἐκ τῆς τὰς θύρας συναπτούσης κ. τ. ἑ. hic etsi κορωνὶς vocem, quae ab coronide librariorum signo circa finem librorum poni solito ducta est, male interpretatur: docet tamen alteram hujus proverbii formam hanc fuisse „χρυσῆ κορώνη", ut Cobeti conjectura probari nequeat. sed in altero proverbio non χρυσῆ sed aliud poni adjectivum solet. nisi enim supra semel in Eustathio, χρυσῆ κορωνὶς nusquam invenitur, ne in uno quidem ex tot exemplis proverbii κορωνίδα ἐπιθεῖναι, quae e Plutarcho et aliunde Wyttenbachius ad Plutarch. p. 511 collegit. priorem autem formam ex ipso Homero sumtam in Byzantinis quoque legere memini, veluti saepius in Menaeis (s. Menologiis, s. Martyrologiis), quorum codex bombycinus saec. XIII Rostochiensis Acad. bibliothecam ornat, in quo codico fol. 288 hi versiculi exstant: χρυσῆν κορώνην οἷα σεμνὴ παρθένε | τῷ τοῦ χρόνου τίθημι

γὰρ τὸν ἡρακλείως βεβιωκότα ἡρακλείως ἀποθανεῖν καὶ ἀναμιχθῆναι τῷ αἰθέρι. καὶ ὠφελῆσαι, ἔφη, βούλομαι τοὺς ἀνθρώπους δείξας αὐτοῖς ὃν χρὴ τρόπον θανάτου
355 καταφρονεῖν. πάντας οὖν δεῖ μοι τοὺς * ἀνθρώπους Φιλοκτήτας γενέσθαι. οἱ μὲν οὖν ἀνοητότεροι τῶν ἀνθρώπων ἐδάκρυον καὶ ἐβόων „σώζου τοῖς Ἕλλησιν," οἱ δὲ ἀνδρωδέστεροι ἐκεκράγεσαν „τέλει τὰ δεδογμένα," ὑφ' ὧν ὁ πρεσβύτης οὐ μετρίως ἐθορυβήθη ἐλπίζων πάντας ἕξεσθαι αὐτοῦ καὶ μὴ προήσεσθαι τῷ πυρί, ἀλλ' ἄκοντα δὴ καθέξειν ἐν τῷ βίῳ. τὸ δὲ „τέλει τὰ δεδογμένα" πάνυ ἀδόκητον αὐτῷ προσπεσὸν ὠχριᾶν ἔτι μᾶλλον ἐποίησε, καίτοι ἤδη νεκρικῶς τὴν χροιὰν ἔχοντα, καὶ νὴ Δία καὶ ὑποτρέμειν. ὡς δὲ κατέπαυσε τὸν λόγον, 34. ἐγὼ μὲν, εἰκάζεις, οἶμαι, πῶς ἐγέλων· οὐδὲ γὰρ

σὴν ζωὴν τέλει. ἐκεκράγεσαν Dindorfius. ἐκεκράγεισαν libri etiam F, de quo errat Jacobitius. προήσεσθαι a. προΐεσθαι et in marg. γρ' προσήεσθαι (sic) F. ἀλλ' Bekker pro ἀλλὰ
τὸ δὲ τέλει] ita correxi. libri τὸ δὴ τελεῖν, in quibus verbis neque δὴ pro δὲ positum et multo minus τελεῖν infinitivus ferri potest, qui eo valuit, ut Gesnerus ab ipsa sententia aberraret. atqui ea ipsa quae praecessit acclamatio: τέλει τὰ δεδογμένα hic totidem verbis ac literis repetenda est, quae res non fugit Wielandium.
πάνυ om a. habent FM. ἔτι om a. habent FM. ἔχοντα Bekker. libri ἔχοντι. καὶ νὴ Δία καὶ ὑποτρέμειν] in hac formula γὲ non semper adjectum esse in Quaestt. Luc. p. 155 sqq. ostendi. supra c. 19: καὶ νὴ Δία γε καὶ ἀποθνήσκειν voces καὶ νὴ Δία γε continuo ordine positae sunt, ut in Vitt. Auct. c. 20, De Merc. Cond. c. 28 aliisque locis apud Schwidopium in Observv. Luciann. III p. 20 sq., in quo genere potius καὶ — γὲ particulas cohaerere tenendum est. nusquam tamen ita Aristophanes, qui idem (ut ad Ranas v. 70 monui) saepe habet καὶ νὴ Δία — γε veluti: καὶ νὴ Δί' ἕτερόν γ' ἔστιν. neque usquam attici aliter collocant, ut Demosthenes De Coron. § 251: καὶ νὴ Δί' εὐδαιμόν γε idque nunc jure restitutum eidem Demostheni XIII § 16, 1 pro „καὶ νὴ Δία γε". omnino veteres atticos nunquam νὴ τὴν Δήμητρά γε vel simile quidquam dixisse primus demonstravit Porsonus in Adversariis p. 33 sqq., quem ad Ar. Thesmoph. v. 225 meritis laudibus extuli. 33 et

34. ὑποτρέμειν. ὡς δὲ κατέπαυσε τὸν λόγον, ἐγὼ μὲν] ita corrigere non dubitavi. libri ὑποτρέμειν, ὥστε κατέπαυσε τὸν λόγον. ἐγὼ δὲ hac etiam interpunctione. quae primum superiori

ἐλεεῖν ἄξιον ἦν οὕτω δυσέρωτα τῆς δόξης ἄνθρωπον
ὑπὲρ ἅπαντας, ὅσοι τῇ αὐτῇ ποινῇ ἐλαύνονται· παρε-
πέμπετο δ' ὅμως ὑπὸ πολλῶν καὶ ἐνεφορεῖτο τῆς δόξης
ἀποβλέπων * ἐς τὸ πλῆθος τῶν θαυμαζόντων, οὐκ εἰ- 356
δὼς ὁ ἄθλιος ὅτι καὶ τοῖς ἐπὶ τὸν σταυρὸν ἀπαγομένοις
ἢ ὑπὸ τοῦ δημίου ἐχομένοις πολλῷ πλείους ἕπονται.
35. καὶ δὴ τὰ μὲν Ὀλύμπια τέλος εἶχε, κάλλιστα Ὀλυμ-
πίων γενόμενα ὧν ἐγὼ εἶδον, τετράκις ἤδη ὁρῶν. ἐγὼ
δὲ, (οὐ γὰρ ἦν εὐπορῆσαι ὀχήματος ἅμα πολλῶν ἐξιόν-
των) ἄκων ὑπελειπόμην. ὁ δὲ ἀεὶ ἀναβαλλόμενος ἐς
νύκτα τὴν τελευταίαν προειρήκει ἐπιδείξασθαι τὴν καῦ-
σιν· καί με τῶν ἑταίρων τινὸς παραλαβόντος περὶ μέσας
νύκτας ἐξαναστὰς ἀπῄειν εὐθὺ τῆς Ἁρπίνης, ἔνθα ἦν
ἡ πυρά. στάδιοι πάντες οὗτοι εἴκοσιν ἀπὸ τῆς Ὀλυμ-
πίας κατὰ τὸν ἱππόδρομον ἀπιόντων πρὸς ἕω. καὶ ἐπεὶ
τάχιστα ἀφικόμεθα, καταλαμβάνομεν πυρὰν νενησμένην

---

loco repugnant c. 32 fin: ἀπῆλθον, unde Lucianum patet hujus orationis non finem sed initium modo audire potnisse. tum hoc dici debet: „qnum illo dicendi finem fecisset, ego quidem suaviter ridebam, multi autem hominem prosequebantnr.“ nam Peregrinus ab multis qui eum a tergo seqnerentur et adductus est ad aram (supra c. 32) et finita oratione honoris causa inde deductus. saepe Lucianus et incipit Ὡς δὲ — nt supra in simili loco c. 5 et apodosin orditur ab ἐγὼ μὲν vel ab οἱ μέν, velut D. Mariu. XIV, 2: ἐπεὶ δ' οὖν ἧκεν ὅπου διῃτῶντο, αἱ μὲν ἐκάθευδον οἶμαι, ὁ δὲ ἀποτεμὼν τῆς Μεδούσης τὴν κεφαλὴν ᾤχετο ἀποπτάμενος.
οἶμαι, πῶς] corrige: οἶμαι, ὅπως —. δ' ὅμως] libri δὲ ὅμως. ὅτι καὶ τοῖς] aut hic καὶ delendum est aut paullo post verba πολλῷ πλείους corrupta sunt.

35. ὑπελειπόμην F. ὑπελιπόμην a. ἐς νύκτα τὴν τελευταίαν] ita correxi. libri inepte νύκτα τὸ τελευταῖον. at sicut e praegressis τὰ μὲν Ὀλύμπια τέλος εἶχε patet, ultima demnm illorum Olympiorum nocte se combussit. de hoc usu εἰς praeverbii ad Alexand. c. 19 med. disserui. προειρήκει ἐπιδείξασθαι] malim προειρήκει ἐπιδείξεσθαι. vide interpretes ad Aristoph. Nub. v. 35 et Cobetnm V. L. p. 98. ἔνθα ἦν F, ut Lehmannus conjecerat. ἔνθα ἡ a. στάδιοι πάντες οὗτοι εἴκοσιν] in hac collocatione articnlum requiro: στάδιοι οἱ πάντες οὗτοι εἴκ., sine articulo transpono: στάδιοι οὗτοι πάντες εἴκ., quorum utrumque est atticum. caeterum εἴκοσιν a. κ̄ F. ἐν βόθρῳ] ita correxi. libri

ἐν βόθρῳ ὅσον ἐς ὀργυιὰν τὸ βάθος. δᾷδες ἦσαν τὰ
πολλὰ καὶ παρεβέβυστο τῶν φρυγάνων, ὡς ἀναφθείη
τάχιστα. 36. καὶ ἐπειδὴ ἡ σελήνη ἀνέτελλεν, (ἔδει γὰρ
357 κἀκείνην θεάσασθαι τὸ κάλλιστον τοῦτο ἔργον) * πρό-
εισιν ἐκεῖνος ἐνεσκευασμένος ἐς τὸν ἀεὶ τρόπον καὶ ξὺν
αὐτῷ τὰ τέλη τῶν κυνῶν, καὶ μάλιστα ὁ γεννάδας ὁ ἐκ
Πατρῶν δᾷδα ἔχων, οὐ φαῦλος δευτεραγωνιστής· ἐδᾳδο-
φόρει δὲ καὶ ὁ Πρωτεύς. καὶ προσελθόντες ἄλλος ἀλλα-
χόθεν ἀνῆψαν τὸ πῦρ μέγιστον ἅτε ἀπὸ δᾴδων καὶ
φρυγάνων· ὁ δὲ, καί μοι πάνυ ἤδη πρόσεχε τὸν νοῦν,
ἀποθέμενος τὴν πήραν καὶ τὸ τριβώνιον καὶ τὸ Ἡρά-
κλειον ἐκεῖνο ῥόπαλον ἔστη ἐν ὀθόνῃ ῥυπώσῃ ἀκριβῶς.
εἶτα ᾔτει λιβανωτὸν, ὡς ἐπιβάλοι ἐπὶ τὸ πῦρ, καὶ ἀνα-
δόντος τινὸς ἐπέβαλέ τε καὶ εἶπεν ἐς τὴν μεσημβρίαν
ἀποβλέπων (καὶ γὰρ καὶ τοῦτο τῶν πρὸς τὴν τραγῳδίαν
ἦν, ἡ μεσημβρία) „δαίμονες μητρῷοι καὶ πατρῷοι δέξα-
σθέ με εὐμενεῖς.“ ταῦτα εἰπὼν ἐπήδησεν ἐς τὸ πῦρ,

ἐν βάθει errore ex voce βάθος nato quae proxime subsequitur. hanc emendationem duo loci superiores postulant, alter c. 21 init: αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι, βόθρον ὀρύττων (debet enim quod illic inchoatur, hic absolutum esse), alter c. 25 fin: εἰ μὴ, ὅπερ φασὶ, μηχανήσεται βαθεῖαν γενέσθαι καὶ ἔμβοθρον τὴν πυράν (debet enim prorsus quod illic praedicitur, hic evenire).

δᾷδες ἦσαν τὰ πολλὰ] i. e. „rogus ex taeda arbore ut plurimum constabat“, sicuti Palmerius in Exerce. p. 579 bene interpretatur. caeterum τὰ πολλὰ a. ταπολλὰ F (ut supra ὑπεράπαντας et ὑποπολλῶν).

36. ἀνέτελλεν F. ἀνέτειλλεν a. ἀνέτειλεν caeterae edd. Jacobitiana priores. τοῦτο ἔργον a. τοῦτο τὸ ἔργον F. ἐνεσκευασμένος] libri ἐσκευασμένος. ἀεὶ duae edd. Basileenses. αἰεὶ a. ἀιεὶ more suo F. καί μοι π. ἤ. πρόσεχε τὸν νοῦν] vide locum plane gemellum in nostri Convivio c. 43. ἔστη a. ἕστη (ut videtur) F. ἐπιβάλοι a. ἐπιβάλλοι (primo voluit ἐπιβάλλει sed ipse correxit) F. τοῦτο τῶν πρὸς] ita correxi. τοῦτο τὸ πρὸς F. τοῦτο πρὸς a. „hoc quoque, inquit, ex eorum numero erat, quae ad tragoediam istam pertinerent“. τὰ πρὸς τὴν τραγῳδίαν ita dictum est, ut ipse Lucianus scripsit Τὰ πρὸς Κρόνον. hunc autem gentilium ritum attigit Lobeckius in Aglaoph. p. 916.

ἐς F. εἰς a. περιεσχέθη Benedictus in ed. Salmuriensi. περιεσχέθην F. περιεσχέσθη a. ἠρεμένης a. ἠρεμένης F.

οὐ μὴν ἑωρᾶτό γε, ἀλλὰ περιεσχέθη ὑπὸ τῆς φλογὸς
πολλῆς ἠρμένης. 37. αὖθις ὁρῶ γελῶντά σε, ὦ καλὲ
Κρόνιε, τὴν καταστροφὴν τοῦ δράματος. ἐγὼ δὲ τοὺς
μητρῴους μὲν δαίμονας ἐπιβοώμενον μὰ τὸν * Δί' οὐ 358
σφόδρα ᾐτιώμην, ὅτε δὲ καὶ τοὺς πατρῴους ἐπεκαλέσατο,
ἀναμνησθεὶς τῶν περὶ τοῦ φόνου εἰρημένων οὐδὲ κα-
τέχειν ἠδυνάμην τὸν γέλωτα. οἱ Κυνικοὶ δὲ περιστάντες
τὴν πυρὰν οὐκ ἐδάκρυον μέν, σιωπῇ δὲ ἐνεδείκνυντο
λύπην τινὰ εἰς τὸ πῦρ ὁρῶντες, ἄχρι δὴ ἀποπνιγεὶς ἐπ'
αὐτοῖς „ἀπίωμεν," φημί, „ὦ μάταιοι· οὐ γὰρ ἡδὺ τὸ θέ-
αμα ὠπτημένον γερόντιον ὁρᾶν κνίσης ἀναπιμπλαμέ-
νους πονηρᾶς. ἢ περιμένετε ἔστ' ἂν γραφεύς τις ἐπελ-
θὼν ἀπεικάσῃ ὑμᾶς, οἵους τοὺς ἐν τῷ δεσμωτηρίῳ ἑταί-
ρους τῷ Σωκράτει παραγράφουσιν;" ἐκεῖνοι μὲν οὖν
ἠγανάκτουν καὶ ἐλοιδοροῦντό μοι, ἔνιοι δὲ καὶ ἐπὶ τὰς
βακτηρίας ᾖξαν. εἶτα ἐπειδὴ ἠπείλησα ξυναρπάσας τινὰς
ἐμβαλεῖν εἰς τὸ πῦρ, ὡς ἂν ἕποιντο τῷ διδασκάλῳ,
ἐπαύσαντο καὶ εἰρήνην ἦγον. 38. ἐγὼ δὲ ἐπανιὼν ποι-
κίλα, ὦ ἑταῖρε, πρὸς ἐμαυτὸν ἐνενόουν, τὸ φιλόδοξον
οἷόν τί * ἐστιν ἀναλογιζόμενος, ὡς μόνος οὗτος ὁ ἔρως 359
ἄφυκτος καὶ τοῖς πάνυ θαυμαστοῖς εἶναι δοκοῦσιν, οὐχ
ὅπως ἐκείνῳ τἀνδρὶ καὶ τἆλλα ἐμπλήκτως καὶ ἀπονενο-
ημένως βεβιωκότι καὶ οὐκ ἀναξίως τοῦ πυρός. 39. εἶτα
ἐνετύγχανον πολλοῖς ἀπιοῦσιν ὡς θεάσαιντο καὶ αὐτοί·

---

37. *τὴν καταστροφὴν*] similiter Simo magus ab discipulis vivum se defodi jussit (Hippolytus Refut. Omn. Haeres. VI, 20 p. 258 D.). *φόνου* Fa. „*φόνου* legendum fortassis" Y. *φθόνου* edd. pleraeque. *ἐνεδείκνυντο*] *ἐνδείκνυσθαί τι* „aliquid ostentare" habent Herodotus et saepe Demosthenes. plane sic *ἐμφαίνειν* dicitur ut (ab Luciano) De Cal. n. t. cred. c. 24. *ἀποπνιγεὶς ἐπ' αὐτοῖς*] haec in Epist. crit. p. XXXIV recte tuitus sum Fabro adsentiens. *γερόντιον* F. *γέροντα* a. *κνίσης* Jacobitius pro *κνίσσης*. *παραγράφουσιν* nimis mire dictum est. quare pro eo conjicio: *προσγράφουσιν*, ut est Pro Imagg. c. 17 init. *ἔνιοι δὲ* habet a, om haec verba F. *ᾖξαν* Faber. *ἤξαν* c. *ἦξαν* Fa.

38. *ποικίλα, ὦ ἑταῖρε*] ita correxi in Praef. ad Quaestt. L. p. XXV. libri *ποικίλως ἑταῖρε*.

39. *ἔτι ζῶντα καταλήψεσθαι*] ita correxi. libri *ἔτι καταλήψεσθαι ζῶντα*. vide Navigium c. 40 fin., Aristoph. Thesmoph. v. 77

*ᾤοντο γὰρ ἔτι ζῶντα καταλήψεσθαι αὐτόν. καὶ γὰρ καὶ τόδε τῇ προτεραίᾳ διεδέδοτο, ὡς πρὸς ἀνίσχοντα τὸν ἥλιον ἀσπασάμενος .... (ὥσπερ ἀμέλει καὶ τοὺς Βραχμᾶνας φασὶ ποιεῖν) ἐπιβήσεται τῆς πυρᾶς. ἀπέστρεφον οὖν τοὺς πολλοὺς αὐτῶν λέγων ἤδη τετελέσθαι τὸ ἔργον, οἷς μὴ καὶ τοῦτο περισπούδαστον ἦν, κἂν αὐτὸν ἰδεῖν τὸν τόπον καί τι λείψανον καταλαμβάνειν τοῦ πυρός. ἔνθα δή, ὦ ἑταῖρε, μυρία πράγματα εἶχον ἅπασι διηγούμενος ἀνακρίνουσι καὶ ἀκριβῶς ἐκπυνθανομένοις. εἰ μὲν οὖν ἴδοιμί τινα χαρίεντα, ψιλὰ ἂν ὥσπερ * σοὶ τὰ πραχθέντα διηγούμην, πρὸς δὲ τοὺς βλᾶκας καὶ πρὸς τὴν ἀκρόασιν κεχηνότας ἐπετραγῴδουν τι παρ' ἐμαυτοῦ, ὡς ἐπειδὴ ἀνήφθη μὲν ἡ πυρά, ἐνέβαλε δὲ φέρων ἑαυτὸν ὁ Πρωτεύς, σεισμοῦ πρότερον μεγάλου γενομένου σὺν μυκηθμῷ τῆς γῆς, γὺψ ἀναπτάμενος ἐκ μέσης τῆς*

al. post *ἀσπασάμενος* lacunae signum posui. excidit *πρότερον* scribendumque est: *ἀσπασάμενος πρότερον, ὥσπερ.* vide geminos Luciani locos, qui in Praef. ad Quaestt. L. p. XXVII allati sunt. verba *πρὸς ἀνίσχοντα τὸν ἥλιον ἐπιβήσεται* structura cohaerent, unde ad v. *ἀσπασάμενος* tacito *αὐτόν* adsumatur. *λει καὶ τοὺς βραχμᾶνας φασὶ ποιεῖν*] inde ab his literis extrema pars Peregrini in cod. Vindobon. 114 (II) casu servata est, quae operae pretium erit contulisse. integrum hunc librum habet cod. Parisinus M, raro tantum ab Fabro et a Belino inspectus: at hic quidem liber tantum non ubique cum F consentire videtur. *ἐπιβήσεται* Pelletus. *ἐπιβήσεσθαι* (τ supra pr m) F. *ἐπιβήσεσθαι* a, cui scripturae nominativus *ἀσπασάμενος* adversatur. erravi de h. l. in Quaestt. L. p. 172. *οὖν* Bekker. libri *δ' οὖν*. *καὶ τοῦτο*] ita correxi. *καὶ ταυτὸ* F. *καὶ τοῦτ' αὐτὸ* a. *διηγούμενος ἀνακρίνουσι*] ita scripsi *καὶ* voce deleta. *διηγούμενος καὶ ἀνακρίνουσι* a. *διηγούμενος* in textu et in marg. pr m *καὶ ἀνακρίνουσι* F. *βλᾶκας* Jacobitius pro *βλάκας*. *ἐπετραγῴδουν*] ita scripsi. libri *ἐτραγῴδουν*, quod verbum nusquam ita ponitur. tu vide Toxar. c. 12: *μηδὲν παρ' ἐμαυτοῦ ἐπιτραγῳδῶν*. eodem modo saepius usurpatur *προστραγῳδεῖν*, interdum etiam *προσεπιτραγῳδεῖν* ut ab scriptore incerto ap. Suidam s. *Προσεπιτραγῳδήσονοι* et ab ipso Luciano etiam *προσεπιμετρεῖν* De Merc. Cond. c. 29 et Alexand. c. 30. *ἀνθρωπίνως μεγάλῃ*] ita correxi. libri *ἀνθρωπίνῃ μεγάλῃ*, quae absurde conjuncta sunt. tu vide Gallum c. 2: *ἀνθρωπίνως ἐλάλησεν ἀλεκτρυών.* *σεισμοῦ πρότερον — ἐς Ὀλυμ-*

φλογὸς οἴχοιτο ἐς τὸν οὐρανὸν ἀνθρωπίνως μεγάλῃ τῇ φωνῇ λέγων „ἔλιπον γᾶν, βαίνω δ' ἐς Ὄλυμπον.“ ἐκεῖνοι μὲν οὖν ἐτεθήπεσαν καὶ προσεκύνουν ὑποφρίττοντες καὶ ἀνέκρινόν με λέγοντες, πότερον πρὸς ἕω ἢ πρὸς

πον] minime h. l. res christianorum tanguntur. immo primum vultur, ut Gesner solus vidit, ad aquilam adludit e rogo emitti solitam in consecratione romana (Herodian. Hist. IV, 2 fin.). similia ab transformationum scriptoribus tradi solent, ut ab Antonino Lib. I, 1 fin: ἐκ τῆς στρωμνῆς πελειὰς ἐξέπτη. deinde tantum abest, ut primis verbis ad Christi mortem respici possit, de qua sic est in Ev. Matthaei XXVII, 51: καὶ ἡ γῆ ἐσείσθη κ. τ. ἑ., ut ad Herculis mortem unice adlusum sit, de qua Diodorus S. IV, 38 fin. ita scripsit: εὐθὺς δὲ καὶ κεραυνῶν ἐκ τοῦ περιέχοντος πεσόντων ἡ πυρὰ πᾶσα κατεφλέχθη. rem conficiunt verba ἔλιπον — Ὄλυμπον, quae ab Novo Testamento procul abhorrere et „ex tragicorum aliquo“ fluxisse Fabrum non latuit. quae ex Euripidis choro sumta esse conjicio easque glyconeorum reliquias esse polyschematistorum:

— — — — — ἔλιπεν ·
γᾶν, βαίνει δ' ἐς Ὄλυμπον.

quod ad Euripidem pertinet, qui tertia usus persona de Hercule haec scripsisse videtur, is quidem in choris aliena ab ipso argumento tam saepe intorcinit, ut haec in tragoediam ejus cadere possint ab Herculis rebus caeteroquin alienam. quanquam Herculis conflagrationem in ipsis quoque tragoediis tractatam esse docent superiora c. 21: μὴ πυρὶ μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆσθαι, docet inprimis Suidas s. Σπίνθαρος, ubi inter ejus tragoedias haec quoque affertur: „Περικαόμενος Ἡρακλῆς“, docet Attius ap. Cicer. De Nat. Deor. III, 16: „non video quo pacto ille, cui in monte Oetaeo illatae lampades fuerint, ut ait Attius, in domum aeternam patris ex illo ardore pervenerit.“ in quo Atti loco jam ad Aristoph. Ranas p. 62 pro „aeternam“ correxi „aetheriam“. sermo est enim de morte Herculis τοῦ ἑαυτὸν ἐξαερώσαντος (ut supra c. 30 legitur), quae mors supra c. 33 his verbis descripta est: ἡρακλείως ἀποθανεῖν καὶ ἀναμιχθῆναι τῷ αἰθέρι. tum l. l. illud addidi, christianorum esse ut II Corinth. V, 1 οἰκίαν αἰώνιον, gentilium vero „aetheriam domum“, ut ap. Horat. Carm. I, 3, 29. quae si vere dicta sunt, eodem vitio haec laborant ejusdem Ciceronis De Republ. VI, 23, ubi coelum ita circumscribitur: „alte spectare si voles atque hanc sedem et aeternam domum contueri“, ita ut hic item „aetheream domum“ conjicere audeam. similiter nunc critici quidam Hyperidi in laudatione funebri Kol. XI, 6 ea imputant, quae christianorum sunt,

δυσμὰς ἐνεχθείη ὁ γύψ; ἐγὼ δὲ τὸ ἐπελθὸν ἀπεκρινά-
μην αὐτοῖς. 40. ἀπελθὼν δὲ ἐς τὴν πανήγυριν ἐπέστην
τινὶ πολιῷ ἀνδρὶ καὶ νὴ τὸν Δί' ἀξιοπίστῳ τὸ πρόσωπον,
361 ὅσον ἐπὶ τῷ πώγωνι καὶ τῇ λοιπῇ * σεμνότητι, τά τε
ἄλλα διηγουμένῳ περὶ τοῦ Πρωτέως καὶ ὡς μετὰ τὸ
καυθῆναι θεάσαιτο αὐτὸν ἐν λευκῇ ἐσθῆτι μικρὸν ἔμ-
προσθεν, καὶ νῦν ἀπολίποι περιπατοῦντα φαιδρὸν ἐν
τῇ ἑπταφώνῳ στοᾷ κοτίνῳ τε ἐστεμμένον· εἶτ' ἐπὶ πᾶσι
προσέθηκε τὸν γῦπα, διομνύμενος ἦ μὴν αὐτὸς ἑωρα-
κέναι ἀναπτάμενον ἐκ τῆς πυρᾶς, ὃν ἐγὼ ἀφῆκα πέτε-
σθαι καταγέλωτα τῶν ἀνοήτων καὶ βλακικῶν τὸν τρόπον.
41. ἐννόει τὸ λοιπὸν οἷα εἰκὸς ἐπ' αὐτῷ γενήσεσθαι,
ποίας μὲν οὐ μελίττας ἐπιστήσεσθαι ἐπὶ τὸν τόπον, τί-
νας δὲ τέττιγας οὐκ ἐπᾴσεσθαι, τίνας δὲ κορώνας οὐκ

---

gentilium uon sunt: „τῶν τὸ ζῆν εἰς αἰώνιον τάξιν μετηλλαχότων“, ubi recte Babingtonus p. 24 in adnotatione εἰς δαιμόνων τάξιν scribi voluit. sed labor longius.

40. τὸ πρόσωπον, ὅσον ἐπὶ] ita correxi. libri τὸ πρόσωπον ἐπὶ, quod non est graece dictnm. ὅσον, quod ego inserui, more positum est prorsus Lucianeo, cujus ad Dial. Deor. VII, 1 p. 19 exempla collegi plurima. εἶτ' ἐπὶ a. εἶτα ἐπὶ F. γῦπα Lehmannus pro γύπα. ὃν ἐγὼ ἀφῆκα Bekker. libri ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἀφῆκα. at verba μικρὸν ἔμπροσθεν hic quidem plane nihil significant et e superioribns nata sunt, in quibus θεάσαιτο — μικρὸν ἔμπροσθεν, καὶ νῦν ἀπολίποι optime conjnguntur. καταγέλωτα τῶν] ita correxi. καταγελῶν τα τῶν a (ita a). καταγελῶν τὰ τῶν F. καταγελῶντα τῶν edd. ab Aldina ad Reitzianam, quod ad sententiam ineptum est. tnm Faber, Guyetus et Solanus (deleto τα vel τὰ) conjecerunt: καταγελῶν τῶν, quod et languet neque codicum scripturis inest. immo id quod habent libri sic interpretandum est: κατάγελων (τα) h. e. κατάγελων et supra καταγέλωτα. alterutrum Luciano, qui tamen attice γέλων rarius dixit quam γέλωτα, reddendum est. hinc leniore etiam medela καταγέλωτα τῶν scribere malui quam κατάγελων τῶν. saepe vero ita vox κατάγελως usurpata est, inprimis a poetis, ut ab Aeschylo in Agamemn. v. 1223 τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε;

41. τὸ λοιπὸν F. τολοιπὸν a. ἐπ' αὐτῷ a. ἐπ' αὐτον (ῷ) F (ita F). ἐπᾴσεσθαι Wyttenbachius ad Plat. Phaedon. p. 195 ed. Lips., quod omnes fere merito receperunt. libri ἐπαγαγέσθαι.

*ἐπιπτήσεσθαι καθάπερ ἐπὶ τὸν Ἡσιόδου τάφον, καὶ τὰ
τοιαῦτα. εἰκόνας μὲν γὰρ παρά τε * Ἠλείων αὐτῶν* 362
παρά τε τῶν ἄλλων Ἑλλήνων, οἷς καὶ ἐπεσταλκέναι ἐλέγετο, αὐτίκα μάλα οἶδα πολλὰς ἀναστησομένας. φασὶ δὲ πάσαις σχεδὸν ταῖς ἐνδόξοις πόλεσιν ἐπιστολὰς διαπέμψαι αὐτὸν διαθήκας τινὰς καὶ παραινέσεις καὶ νόμους· καί τινας ἐπὶ τέτῳ τῶν ἑταίρων πρεσβευτὰς ἐχειροτόνησε νεκραγγέλους καὶ νερτεροδρόμους προσαγορεύσας. 42. *τοῦτο τέλος τοῦ κακοδαίμονος Πρωτέως ἐγένετο, ἀνδρὸς, ὡς βραχεῖ λόγῳ περιλαβεῖν, πρὸς ἀλήθειαν μὲν οὐδεπώποτε ἀποβλέψαντος, ἐπὶ δόξῃ δὲ καὶ τῷ παρὰ τῶν πολλῶν ἐπαίνῳ ἅπαντα εἰπόντος ἀεὶ καὶ πράξαντος, ὡς καὶ εἰς πῦρ ἅλλεσθαι, ὅτε μηδ' ἀπολαύειν τῶν ἐπαίνων ἔμελλεν ἀναίσθητος αὐτῶν γενόμενος.* 43. *ἓν ἔτι σοι προσδιηγησάμενος παύσομαι, ὡς ἔχῃς ἐπὶ πολὺ γελᾶν. ἐκεῖνο μὲν γὰρ πάλαι οἶσθα εὐθὺς ἀκούσας
μου ὅτε ἧκον ἀπὸ Συρίας διηγουμένου, ὡς ἀπὸ* * 363
Τρῳάδος συμπλεύσαιμι αὐτῷ καὶ τήν τε ἄλλην ἐν τῷ

τίνας δὲ κορώνας — Ἡσιόδου τάφον] vide Pausaniam IX, 38, 3. *Ἑλλήνων* a. *ἑλλήνων* F. *ἐλέγετο*] ita correxi. libri *ἔλεγεν*, pro quo multi duce Solano *ἔλεγον* scripserunt. *διαθήκας*] comparare licet eloginm operis Orphicorum „*Διαθῆκαι*“, quod Lobeckius in Aglaoph. p. 366 et p. 449 bene explicavit. *ἐπὶ τούτῳ* FM (et fortasse X?). *ἐπὶ τούτων* a. *τῶν ἑταίρων πρεσβευτὰς*] ita scripsi. libri *πρεσβευτὰς τῶν ἑταίρων* verbis inepte trajectis.

42. *οὐδεπώποτε* a. *οὐδὲ πώποτε* F. *καὶ τῷ παρὰ* F, ut Pelletus conjecerat. *καὶ τὸ παρὰ* a. *ἅλλεσθαι* F. *ἀλλέσθαι* a. *ἀναίσθητος* a. *ἀναισθήτως* F. *αὐτῶν γενόμενος*] malim *αὐτὸς γενόμενος*, sicut exstat in Navigio c. 40, ubi pro vulgata *αὐτῶν* optimi libri *αὐτῷ* habent: *τίς ἔτι ἀπόλαυσις ἀναισθήτῳ αὐτῷ γενομένῳ*; adde Menandrum in Compar. Men. et Phil. p. 364: *μὴ κλᾶε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ | τὰ δάκρυ' ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ*, quas conjecturas Heinsius etiam Meinekio in Fragm. C. IV p. 269 probavit. nempe Epicureis placuit mortuos esse *ἀναισθήτους* secundum Epicuri sententiam ap. Stobaeum Tit. CXVIII, 30: *τὸ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναίσθητον οὐδὲν πρὸς ἡμᾶς.* contrarium aliorum praeceptum fuit, *ὅτι ἔστιν αἴσθησις ἐν ᾅδου*, ut Hyperidis ap. eundem Stobaeum Tit. CXXIV, 36.

43. *ἐπὶ πολὺ* Jacobitius pro *ἐπιπολύ*. *ἐκεῖνο*] libri *ἐκεῖνα*. *οἶσθα* a. *ἴσθι* F. *ἧκον* Benedictus in Salmuriensi. libri

πλῷ τρυφὴν καὶ τὴν περὶ τὸ μειράκιον τὸ ὡραῖον, ὅ ἔπεισε κυνίζειν, ὡς ἔχοι καὶ αὐτός τινα Ἀλκιβιάδην, καὶ ὡς ἐπιταραχθείημεν τῆς νυκτὸς ἐν μέσῳ τῷ Αἰγαίῳ γνόφου καταβάντος καὶ κῦμα παμμέγεθες ἐγείραντος, ... ἐκώκυε μετὰ τῶν γυναικῶν ὁ θαυμαστὸς καὶ θανάτου κρείττων εἶναι δοκῶν. 44. ἀλλὰ μικρὸν πρὸ τῆς τελευτῆς, πρὸ ἐννέα σχεδόν που ἡμερῶν, πλέον οἶμαι τοῦ ἱκανοῦ ἐμφαγὼν ἤμεσέ τε τῆς νυκτὸς καὶ ἑάλω πυρετῷ μάλα σφοδρῷ. ταῦτα δέ μοι Ἀλέξανδρος ὁ ἰατρὸς διηγήσατο μετακληθεὶς ὡς ἐπισκοπήσειεν αὐτόν. ἔφη οὖν καταλαβεῖν αὐτὸν χαμαὶ κυλιόμενον καὶ τὸν φλογμὸν οὐ φέροντα καὶ ψυχρὸν αἰτοῦντα πάνυ ἐρωτικῶς, αὐτὸς δὲ μὴ δοῦναι. καίτοι εἰπεῖν ἔφη πρὸς αὐτόν, ὡς εἰ πάντως θανάτου δέοιτο, ἥκειν αὐτὸν ἐπὶ τὰς θύρας αὐτόματον,
364 ὥστε καλῶς ἔχειν ἕπεσθαι μηδὲν * τοῦ πυρὸς δεόμενον. τὸν δ' αὖ φάναι· „ἀλλ' οὐχ ὁμοίως ἔνδοξος ὁ. τρόπος

ἥκων. καὶ τήν τε ἄλλην ἐν τῷ πλῷ τρυφὴν καὶ τὴν περὶ τὸ μειράκιον] ita correxi. libri: καὶ τήν τε ἄλλην τὴν ἐν τῷ πλῷ τρυφὴν καὶ τὸ μειράκιον absurde. Ἀλκιβιάδην] hic jocus eo tendit, quod Peregrinus interdum cum Socrate comparatus est, ut supra c. 12 fin. et c. 37 fin. ἐπιταραχθείημεν Bekker. ἐπιταραχθείη μὲν a. ἐπιταραχθείημὲν (conjuncte, sed duplici accentu) F. male Struvius in L. L. p. 231 ἐπιταραχθεὶς μὲν conjecerat non ille ad v. μὲν usum attendens. Αἰγαίῳ a. ἀγῶνι F. ἐγείραντος ἐκώκυε] inter haec verba auctore Bekkero lacunae signa posui. excidit sive ὅπερ καὶ (vide Charonem c. 7 fin., Alexand. c. 59, Toxar. c. 24, Adv. Indoct. c. 9 et ibid. c. 12, Peregrin. c. 11 init. et ubi imperfectum sequitur Thucydidem I, 8), sive ὅτε δὴ καὶ (De Sacrific. c. 4 et De Domo c. 11), sive ὅτε καὶ (De Cal. n. t. cr. c. 18), sive τότε δὴ (Peregrin. c. 12 init. et Rhet. Praecept. c. 5).

44. libri πλεῖον, sed recte Lehmannus πλέον motus etiam simillimis locis D. Mort. VII, 1 et De Merc. Cond. c. 18. Ἀλέξανδρος a. ὁ ἀλέξανδρος F male, quum homo hic primum memoratus sit. αὐτὸς δὲ] ita correxi. libri ἑαυτὸν δέ, pro quo αὐτὸν δὲ lenius conjeceram accusativo in oppositione locato ut in exemplis partim dubiis Lobecki ad Phrynich. p. 750 et meis in Quaestt. Luc. p. 102, sed nominativus vere atticus est. verum Cobetus V. L. p. 107 pro ἑαυτὸν δὲ h. l. conjecit ἓ δὲ probante Dindorfio.

γένοιτ' ἂν πᾶσι κοινὸς ὤν." 45. ταῦτα μὲν ὁ Ἀλέξανδρος· ἐγὼ δὲ οὐδ' αὐτὸς πρὸ πολλῶν ἡμερῶν εἶδον αὐτὸν ἐγκεχρισμένον, ὡς ἀποδακρύσειε, τῷ δριμεῖ φαρμάκῳ. ὁρᾷς; οὐ πάνυ τοὺς ἀμβλυωποῦντας ὁ Αἰακὸς παραδέχεται. ὅμοιον ὡς εἴ τις ἐπὶ σταυρὸν ἀναβήσεσθαι μέλλων τὸ ἐν τῷ δακτύλῳ πρόσπταισμα θεραπεύοι. τί σοι δοκεῖ ὁ Δημόκριτος, εἰ ταῦτα εἶδε; κατ' ἀξίαν γελάσαι ἂν ἐπὶ τῷ ἀνδρί; καίτοι πόθεν εἶχεν ἐκεῖνος τοσοῦτον γέλωτα; σὺ δ' οὖν, ὦ φιλότης, γέλα καὶ αὐτὸς, καὶ μάλιστα ὁπόταν τῶν ἄλλων ἀκούσῃς θαυμαζόντων αὐτόν.

---

45. *ἐγκεχρισμένον* libri. *ἐγκεχριμένον* Dindorfius. in Saturnal. c. 2 libri omnes item dant *κεχρισμένον*, et saepius in Luciano *χρίσμα*, nusquam *χρῖμα*. atticum *κέχριμαι* tetigit Cobetus V. L. p. 127. de ironico *ὁρᾷς*; vide Quaestt. Luc. p. 96. *τὸ ἐν τῷ* F. *τῷ ἐν τῷ* a. *σὺ δ' οὖν* a. *σὺ δὲ* F.

ΦΙΛΟΨΕΥΔΗΣ Η ΑΠΙΣΤΩΝ.

Reitz. III p. 29.

1. ΤΥΧΙΑΔΗΣ. Ἔχεις μοι, ὦ Φιλόκλεις, εἰπεῖν, τί ποτε ἄρα τοῦτό ἐστιν, ὃ πολλοὺς εἰς ἐπιθυμίαν τοῦ ψεύδεσθαι προάγεται, ὡς αὐτούς τε χαίρειν μηδὲν ὑγιὲς λέγοντας καὶ τοῖς τὰ τοιαῦτα διεξιοῦσι μάλιστα προσέχειν τὸν νοῦν; ΦΙΛΟΚΛΗΣ. πολλά, ὦ Τυχιάδη, ἐστὶν ἃ τοὺς ἀνθρώπους ἐνίους ἀναγκάζει τὰ ψευδῆ λέγειν ἐς τὸ χρήσιμον ἀποβλέποντας. ΤΥΧ. οὐδὲν πρὸς ἔπος ταῦτα, φασίν, οὐδὲ περὶ τούτων ἠρόμην, ὁπόσοι τῆς χρείας ἕνεκα ψεύδονται. συγγνωστοὶ γὰρ οὗτοί γε μᾶλλον δὲ καὶ ἐπαίνου τινὲς αὐτῶν ἄξιοι, ὁπόσοι ἢ πολεμίους ἐξηπάτησαν ἢ ἐπὶ σωτηρίᾳ τῷ τοιούτῳ φαρμάκῳ ἐχρήσαντο ἐν τοῖς δεινοῖς, οἷα πολλὰ καὶ ὁ Ὀδυσσεὺς ἐποίει τήν τε αὑτοῦ ψυχὴν ἀρνύμενος καὶ τὸν νόστον

Φιλοψευδὴς ἢ ἀπιστῶν libri (diserte ΦΜ a) et Thomas Mag. bis p. 22, 4 et p. 79, 11, sed idem p. 366, 16 R. habet *ἐν τῷ φιλοψευδεῖ* tantum caeteris omissis. argumentum hujus libelli ejusmodi est, ut multo magis *Δεισιδαίμων ἢ ἀπιστῶν* exspectares, nisi ipse Lucianus superstitiouis errores in mendacia philosophorum convertisset.

1. *τοῦτο* (post *ἄρα*) om Φ. *πολλοὺς* Φ. *τοὺς πολλοὺς* v. *φασὶν* v et in M corrector, ubi m pr *φησιν*. *συγγνωστοὶ γὰρ οὗτοί γε μᾶλλον δὲ καὶ* Burmeister Quaestt. cr. p. 30. libri *συγγνώμης τοιγαροῦν οὗτοί γε μᾶλλον καὶ* —. cave scribas *συγγνωστοὶ γὰρ οὖν οὗτοί γε* —. nam *γὰρ οὖν* atticum illud et Lucianeum ab h. l. abhorret. quum codicum scripturae aperte hoc insit:

στοὶ
συγγνώμης quumque *συγγνώμης ἄξιος* etiam alibi (ut De Merc. Cond. c. 5 init.) exstet: per se non minus attica haec lectio est: *συγγνώμης γὰρ οὗτοί γε*, longe tamen elegantior est altera *συγγνωστοὶ* —. *ὁ Ὀδυσσεὺς* Φ. *Ὀδυσσεὺς* v. *αὑτοῦ*] *αὐτοῦ* Φa.

τῶν ἑταίρων. ἀλλὰ περὶ ἐκείνων, ὦ ἄριστε, φημὶ οἳ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος παρὰ πολὺ τῆς ἀληθείας * 30
προτίθενται ἡδόμενοι τῷ πράγματι καὶ ἐνδιατρίβοντες ἐπ' οὐδεμιᾷ προφάσει ἀναγκαίᾳ. τούτους οὖν ἐθέλω εἰδέναι, τίνος ἀγαθοῦ τοῦτο ποιοῦσιν. 2. ΦΙΛ. ἤ που κατανενόηκας ἤδη τινὰς τοιούτους, οἷς ἔμφυτος ἔρως οὗτός ἐστι πρὸς τὸ ψεῦδος; ΤΥΧ. καὶ μάλα πολλοί εἰσι τοιοῦτοι. ΦΙΛ. τί οὖν ἄλλο ἢ ἄνοιαν χρὴ αἰτίαν εἶναι αὐτοῖς φάναι τοῦ μὴ ἀληθῆ λέγειν, εἴ γε τὸ χείριστον ἀντὶ τοῦ βελτίστου προαιροῦνται; ΤΥΧ. οὐδὲ τοῦτο· ἐπεὶ πολλοὺς ἂν ἐγώ σοι δείξαιμι συνετοὺς τἄλλα καὶ τὴν γνώμην θαυμαστοὺς οὐκ οἶδ' ὅπως ἑαλωκότας τούτῳ τῷ κακῷ καὶ φιλοψευδεῖς ὄντας, ὡς ἀνιᾶσθαί με, εἰ τοιοῦτοι ἄνδρες ἄριστοι τὰ πάντα ὅμως χαίρουσιν αὑτούς τε καὶ τοὺς ἐντυγχάνοντας ἐξαπατῶντες. ἐκείνους μὲν γὰρ τοὺς παλαιοὺς πρὸ ἐμοῦ σὲ χρὴ εἰδέναι, τὸν Ἡρόδοτον καὶ Κτησίαν τὸν Κνίδιον καὶ πρὸ τούτων τοὺς ποιητὰς καὶ τὸν Ὅμηρον αὐτόν, ἀοιδίμους ἄνδρας, ἐγγράφῳ τῷ ψεύσματι κεχρημένους, ὡς μὴ μόνον ἐξα-

τήν τε — ἑταίρων] ex Odyss. α', 5. libri περὶ πολλοῦ τῆς ἀληθείας τίθενται, itemque partim scholiasta, qui: ἀντὶ τοῦ, περὶ πλείονος. correxi, παρὰ πολὺ τῆς ἀληθείας προτίθενται. vide Luc. Pro Merc. Cond. c. 4 et Convivium c. 22. Jacobsius in Append. ad Porsoni Advers. p. 300 πρὸ πολλοῦ τῆς ἀληθείας τίθενται conjecit probante Bekkero, quod graece dictum esse nego negavitque Cobetus V. L. p. 269, qui ipse dubitanter scripsit, περὶ πλείονος τῆς ἀλ. τίθενται, justo ille quidem audacius sed attice, velut De Conscr. Hist. c. 39. τίνος ἀγαθοῦ] Adv. Indoct. c. 5 init. et Anachars. c. 5.

2. πολλοί εἰσι τοιοῦτοι] ita conjeci. πολλοί εἰσιν οἱ τοιοῦτοι v. sed εἰσιν οἱ om ΦΜa. τί οὖν] libri τί δ' οὖν —. εἴ γε] schol. Voss: αὐτὸς καθ' ἑαυτοῦ κόνιν ἅμα ταῦτα διεξιών. corrige: αὐτὸς καθ' ἑαυτοῦ κόνιν ἀμᾶται ταῦτα διεξιών, noto proverbio, cujus ab Leutschio in Paroemiogr. Gr. I p. 423 exempla allata sunt. οὐδὲ τοῦτο] libri οὐδὲν τοῦτο. at respicitur ad haec ejusdem verba superiora: οὐδὲν πρὸς ἔπος ταῦτα. omnino οὐδὲν τοῦτο ita simpliciter dici non solet, sed aut οὐδὲν τοῦτο φής, ut in D. Deor. VI, 4 et ibid. XVIII, 2, aut οὐδὲν τοιοῦτον, ut D. Deor. X, 1, Hermotim. 15 et Fugitiv. 3. αὑτούς] αὐτοὺς a. πρὸ ἐμοῦ χρὴ m pr et corrector πρὸ ἐμοῦ σε χρὴ M. μέχρι Jaco-

31 πατὰν τοὺς τότε ἀκούοντας * αὐτῶν, ἀλλὰ καὶ μέχρι ἡμῶν διικνεῖσθαι τὸ ψεῦδος ἐκ διαδοχῆς ἐν καλλίστοις ἔπεσι καὶ μέτροις φυλαττόμενον. ἐμοὶ γοῦν πολλάκις αἰδεῖσθαι ὑπὲρ αὐτῶν ἔπεισιν, ὁπόταν Οὐρανοῦ τομὴν καὶ Προμηθέως δεσμὰ διηγῶνται καὶ Γιγάντων ἐπανάστασιν καὶ τὴν ἐν ᾅδου πᾶσαν τραγῳδίαν, καὶ ὡς δι' ἔρωτα ὁ Ζεὺς ταῦρος ἢ κύκνος ἐγένετο καὶ ὡς ἐκ γυναικός τις ἐς ὄρνεον ἢ ἐς ἄρκτον μετέπεσεν, ἔτι δὲ Πηγάσους καὶ Χιμαίρας καὶ Γοργόνας καὶ Κύκλωπας καὶ ὅσα τοιαῦτα, πάνυ ἀλλόκοτα καὶ τεράστια μυθίδια, παίδων ψυχὰς κηλεῖν δυνάμενα ἔτι τὴν Μορμὼ καὶ τὴν Λάμιαν δεδιότων. 3. καίτοι τὰ μὲν τῶν ποιητῶν ἴσως μέτρια, τὸ δὲ καὶ πόλεις ἤδη καὶ ἔθνη πολλὰ κοινῇ καὶ δημοσίᾳ ψεύδεσθαι πῶς οὐ γελοῖον; εἰ Κρῆτες μὲν τοῦ Διὸς τάφον δεικνύντες οὐκ αἰσχύνονται, Ἀθηναῖοι δὲ τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί φασι καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι, καθάπερ τὰ λάχανα, πολὺ σεμνότερον οὗτοι τῶν Θηβαίων, οἳ ἐξ
32 ὄφεως ὀδόντων Σπαρτούς τινας * ἀναβεβλαστηκέναι διηγοῦνται. ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων αὐτὰ Κοροίβου τινὸς ἢ Μαργίτου νομίζῃ τὸ πείθεσθαι, ἢ Τρι-

---

hitius pro *μέχρις*. *κύκνος ἐγένετο*] *κύκνος ἐγίνετο* Φ. *ἐκ γυναικὸς* m pr et corrector *ἐκ γυναικός τις* M. *ἐς ὄρνεον*] *ἔς τι ὄρνεον* M. *ἔτι δὲ Πηγάσους — τεράστια μυθίδια*] Plato in Phaedro p. 229, d fin., quae Luciano obversata sunt judice etiam Cobeto V. L. p. 192. *μυθίδια*] participii *δυνάμενα* notio ut nunc est ab h. l. abhorret. quare suppleo: *μυθίδια [μόλις ἂν] παίδων ψυχὰς κηλεῖν δυνάμενα —*. vide De Merc. Cond. c. 20.

3. *τῶν ποιητῶν*] *τῶν* om pr m, add in marg. M. *τοῦ Διὸς*] *τὸν διὸς* Φ. vulgatae favent De Sacrific. c. 10 et Jup. Tragoed. c. 45. *δεικνύντες* Φ. *δεικνύοντες* v. *φασι καὶ*] *φασίν· καὶ* Φ. *ἐκ τῆς Ἀττικῆς* ΦMa et v. *ἐκ τῆς γῆς ἀττικῆς* V. *γῆς* etiam addit Y. Bekker *ἐκ τῆς Ἀττικῆς* delevit verba ad rem necessaria. hic enim *Ἀττικοὶ αὐτόχθονες* (Arist. Vesp. v. 1076) clare designandi sunt. *ἀναφῦναι*] *ἀναφῆναι* a. *λάχανα*] Poliochus c. ap. Athen. II p. 60, c v. 6: *λάχανα τῶν αὐτοχθόνων*. *ἐμφρόνως*] *εὐφρόνως* Ma. *ἐξετάζων αὐτὰ*] ita correxi. libri *ἐξετάζων ταῦτα*. *Κοροίβου — Μαργίτου*] de his et de scholio ad Arist. Ranas

πτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέ-
ρων ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον ἐς Μαραθῶνα
ἢ Ὠρείθυιαν ὑπὸ τοῦ Βορέου ἁρπασθῆναι, ἀσεβὴς οὗτός
γε καὶ ἀνόητος αὐτοῖς ἔδοξεν, οὕτω προδήλοις καὶ ἀλη-
θέσι πράγμασιν ἀπιστῶν· ἐς τοσοῦτον ἐπικρατεῖ τὸ
ψεῦδος. 4. ΦΙΛ. ἀλλ' οἱ μὲν ποιηταί, ὦ Τυχιάδη, καὶ
αἱ πόλεις δὲ συγγνώμης τυγχάνοιεν ἄν, οἱ μὲν τὸ ἐκ
τοῦ μύθου τερπνὸν ἐπαγωγότατον ὂν ἐγκαταμιγνύντες
τῇ γραφῇ, οὗπερ μάλιστα δέονται πρὸς τοὺς ἀκροατάς,
Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι καὶ εἴ τινες ἄλλοι σεμνοτέρας
ἀποφαίνονται τὰς πατρίδας ἐκ τῶν τοιούτων. εἰ γοῦν
τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν
κωλύσειε λιμῷ τοὺς περιηγητὰς αὐτῶν διαφθαρῆναι,
μηδὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν * ἐθελησάντων. 33
οἱ δὲ μηδεμιᾶς ἕνεκα αἰτίας τοιαύτης ὅμως χαίροντες
τῷ ψεύσματι παγγέλοιοι εἰκότως δοκοῖεν ἄν. 5. ΤΥΧ.
εὖ λέγεις· ἐγὼ γὰρ παρὰ Εὐκράτους ἥκω σοι τοῦ πάνυ
πολλὰ τὰ ἄπιστα καὶ μυθώδη ἀκούσας· μᾶλλον δὲ με-
ταξὺ λεγομένων ἀπιὼν ᾠχόμην οὐ φέρων τοῦ πράγματος
τὴν ὑπερβολήν, ἀλλά με ὥσπερ αἱ Ἐρινύες ἐξήλασαν

p. 323 et p. 325 aliquid dixi. *νομίζῃ τὸ* Bekker. *νομίζοι τὸ* v. *νομίζοιτο* ΦΜ. optativum conditionalem post verba *ἂν ἐξετάζων* servare licet. *Πᾶνα* pro *Πάνα* Lehmannus. *ἁρπασθῆναι* Φ. *ἀναρπασθῆναι* v. Cobetus quoque V. L. p. 191 h. l. *ἀρπασθῆναι* rescribit, si forte ex Ω sumtum, laude dignus, sin ut suam conjecturam, reprehensione. nam et haec ipsa res a Platone in Phaedro p. 229, c verbis *ἀνάρπαστον γεγονέναι* et ab Apollonio Rhodio I, 214 vorbo *ἀνερείψατο* et similiter ab Ovidio Metam. VI, 707 significata est, et *ἀνήρπασεν* in re venerea jam ab Homero Il. ι', 564 ponitur. plerique tamen de Orithyiae raptu *ἁρπάζειν* habent, idem Plato in Phaedro p. 229, b et d, Acusilaus ap. schol. ad Odyss. ξ, 533, Pausanias I, 19, 6 et iterum V, 19, 1, Apollodorus III, 15, 2, alii. *οὗτός γε*] *οὗτός τε* Φ. *αὐτοῖς*] *αὐτὸς* m pr et corrector *αὐτοῖς* M.

4. *αἱ πόλεις δὲ*] *δὲ* om m pr sed suprascr. M. *κωλύσειε λιμῷ* Dindorfius. *κωλύσῃ ἐλεγμῷ* et supra *γρ. λιμῷ* Φ. *κωλύσῃ λιμῷ* v. *κωλύσαι λιμῷ* Lehmannus et alii. *αἰτίας τοιαύτης* Φ. *τοιαύτης αἰτίας* v.

5. *Ἐρινύες*] libri *Ἐριννύες*. *πολλὰ τεράστια*] ita libri. sed *πολλὰ* deleo ut natum e superioribus: *πολλὰ τὰ ἄπιστα*. *διεξι-*

31 πατᾶν τοὺς τότε ἀκούοντας * αὐτῶν, ἀλλὰ καὶ μέχρι ἡμῶν διικνεῖσθαι τὸ ψεῦδος ἐκ διαδοχῆς ἐν καλλίστοις ἔπεσι καὶ μέτροις φυλαττόμενον. ἐμοὶ γοῦν πολλάκις αἰδεῖσθαι ὑπὲρ αὐτῶν ἔπεισιν, ὁπόταν Οὐρανοῦ τομὴν καὶ Προμηθέως δεσμὰ διηγῶνται καὶ Γιγάντων ἐπανάστασιν καὶ τὴν ἐν ᾅδου πᾶσαν τραγῳδίαν, καὶ ὡς δι' ἔρωτα ὁ Ζεὺς ταῦρος ἢ κύκνος ἐγένετο καὶ ὡς ἐκ γυναικός τις ἐς ὄρνεον ἢ ἐς ἄρκτον μετέπεσεν, ἔτι δὲ Πηγάσους καὶ Χιμαίρας καὶ Γοργόνας καὶ Κύκλωπας καὶ ὅσα τοιαῦτα, πάνυ ἀλλόκοτα καὶ τεράστια μυθίδια, παίδων ψυχὰς κηλεῖν δυνάμενα ἔτι τὴν Μορμὼ καὶ τὴν Λάμιαν δεδιότων. 3. καίτοι τὰ μὲν τῶν ποιητῶν ἴσως μέτρια, τὸ δὲ καὶ πόλεις ἤδη καὶ ἔθνη πολλὰ κοινῇ καὶ δημοσίᾳ ψεύδεσθαι πῶς οὐ γελοῖον; εἰ Κρῆτες μὲν τοῦ Διὸς τάφον δεικνύντες οὐκ αἰσχύνονται, Ἀθηναῖοι δὲ τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί φασι καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι, καθάπερ τὰ λάχανα, πολὺ σεμνότερον οὗτοι τῶν Θηβαίων, οἳ ἐξ
32 ὄφεως ὀδόντων Σπαρτούς τινας * ἀναβεβλαστηκέναι διηγοῦνται. ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων αὐτὰ Κοροίβου τινὸς ἢ Μαργίτου νομίζῃ τὸ πείθεσθαι, ἢ Τρι-

---

bitius pro *μέχρις*. *κύκνος ἐγένετο*] *κύκνος ἐγίνετο* Φ. *ἐκ γυναικὸς* m pr et corrector *ἐκ γυναικός τις* M. *ἐς ὄρνεον*] *ἔς τι ὄρνεον* M. *ἔτι δὲ Πηγάσους — τεράστια μυθίδια*] Plato in Phaedro p. 229, d fin., quae Luciano obversata sunt judice etiam Cobeto V. L. p. 192. *μυθίδια*] participii *δυνάμενα* notio ut nunc est ab h. l. abhorret. quare suppleo: *μυθίδια* [*μόλις ἂν*] *παίδων ψυχὰς κηλεῖν δυνάμενα* —. vide De Merc. Cond. c. 20.

3. *τῶν ποιητῶν*] *τῶν* om pr m, add in marg. M. *τοῦ Διὸς*] *τὸν διὸς* Φ. vulgatae favent De Sacrific. c. 10 et Jup. Tragoed. c. 45. *δεικνύντες* Φ. *δεικνύοντες* v. *φασι καὶ*] *φασίν· καὶ* Φ.

ἐκ τῆς Ἀττικῆς ΦMa et v. *ἐκ τῆς γῆς ἀττικῆς* V. *γῆς* etiam addit Y. Bekker *ἐκ τῆς Ἀττικῆς* delevit verba ad rem necessaria. hic enim *Ἀττικοὶ αὐτόχθονες* (Arist. Vesp. v. 1076) clare designandi sunt. *ἀναφῦναι*] *ἀναφῆναι* a. *λάχανα*] Poliochus c. ap. Athen. II p. 60, c v. 6: *λάχανα τῶν αὐτοχθόνων*. *ἐμφρόνως*] *εὐφρόνως* Ma. *ἐξετάζων αὐτὰ*] ita correxi. libri *ἐξετάζων ταῦτα*.

Κοροίβου — Μαργίτου] de bis et de scholio ad Arist. Ranas

πτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέ-
ρων ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον ἐς Μαραθῶνα
ἢ Ὠρείθυιαν ὑπὸ τοῦ Βορέου ἁρπασθῆναι, ἀσεβὴς οὗτός
γε καὶ ἀνόητος αὐτοῖς ἔδοξεν, οὕτω προδήλοις καὶ ἀλη-
θέσι πράγμασιν ἀπιστῶν· ἐς τοσοῦτον ἐπικρατεῖ τὸ
ψεῦδος. 4. ΦΙΛ. ἀλλ' οἱ μὲν ποιηταί, ὦ Τυχιάδη, καὶ
αἱ πόλεις δὲ συγγνώμης τυγχάνοιεν ἄν, οἱ μὲν τὸ ἐκ
τοῦ μύθου τερπνὸν ἐπαγωγότατον ὂν ἐγκαταμιγνύντες
τῇ γραφῇ, οὗπερ μάλιστα δέονται πρὸς τοὺς ἀκροατάς,
Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι καὶ εἴ τινες ἄλλοι σεμνοτέρας
ἀποφαίνονται τὰς πατρίδας ἐκ τῶν τοιούτων. εἰ γοῦν
τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν
κωλύσειε λιμῷ τοὺς περιηγητὰς αὐτῶν διαφθαρῆναι,
μηδὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν * ἐθελησάντων. 33
οἱ δὲ μηδεμιᾶς ἕνεκα αἰτίας τοιαύτης ὅμως χαίροντες
τῷ ψεύσματι παγγέλοιοι εἰκότως δοκοῖεν ἄν. 5. ΤΥΧ.
εὖ λέγεις· ἐγὼ γὰρ παρὰ Εὐκράτους ἥκω σοι τοῦ πάνυ
πολλὰ τὰ ἄπιστα καὶ μυθώδη ἀκούσας· μᾶλλον δὲ με-
ταξὺ λεγομένων ἀπιὼν ᾠχόμην οὐ φέρων τοῦ πράγματος
τὴν ὑπερβολήν, ἀλλά με ὥσπερ αἱ Ἐρινύες ἐξήλασαν

---

p. 323 et p. 325 aliquid dixi. *νομίζῃ τὸ* Bekker. *νομίζοι τὸ* v. *νομίζοιτο* ΦΜ. optativum conditionalem post verba *ἂν ἐξετάζων* servare licet. *Πᾶνα* pro *Πάνα* Lehmannus. *ἁρπασθῆναι* Φ. *ἀναρπασθῆναι* v. Cobetus quoque V. L. p. 191 h. l. *ἁρπασθῆναι* rescribit, si forte ex Ω sumtum, laude dignus, sin ut suam conjecturam, reprehensione. nam et haec ipsa res a Platone in Phaedro p. 229, c verbis *ἀνάρπαστον γεγονέναι* et ab Apollonio Rhodio I, 214 verbo *ἀνερείψατο* et similiter ab Ovidio Metam. VI, 707 significata est, et *ἀνήρπασεν* in re venerea jam ab Homero Il. ι', 564 ponitur. plerique tamen de Orithyiae raptu *ἁρπάζειν* habent, idem Plato in Phaedro p. 229, b et d, Acusilaus ap. schol. ad Odyss. ξ, 533, Pausanias I, 19, 6 et iterum V, 19, 1, Apollodorus III, 15, 2, alii. *οὗτός γε*] *οὗτός τε* Φ. *αὐτοῖς*] *αὐτὸς* m pr et corrector *αὐτοῖς* M.

4. *αἱ πόλεις δὲ*] *δὲ* om m pr sed suprascr. M. *κωλύσειε λιμῷ* Dindorfius. *κωλύσῃ ἐλεγμῷ* et supra *γρ. λιμῷ* Φ. *κωλύσῃ λιμῷ* v. *κωλῦσαι λιμῷ* Lehmannus et alii. *αἰτίας τοιαύτης* Φ. *τοιαύτης αἰτίας* v.

5. *Ἐρινύες*] libri *Ἐριννύες*. *πολλὰ τεράστια*] ita libri. sed *πολλὰ* deleo ut natum e superioribus: *πολλὰ τὰ ἄπιστα*. *διεξι-*

[πολλὰ] τεράστια καὶ ἀλλόκοια διεξιόντος. *ΦΙΛ.* καίτοι, ὦ Τυχιάδη, ἀξιόπιστος ὁ Εὐκράτης ἐστὶ καὶ οὐδεὶς ἂν [οὐδὲ] πιστεύσειεν, ὡς ἐκεῖνος οὕτω βαθὺν πώγωνα καθειμένος, ἑξηκοντούτης ἀνὴρ, ἔτι καὶ φιλοσοφίᾳ ξυνὼν τὰ πολλὰ, ὑπομείνειεν ἂν καὶ ἄλλου τινὸς ψευδομένου ἀκοῦσαι παρὼν, οὐχ ὅπως αὐτός τι τολμῆσαι τοιοῦτον. *ΤΥΧ.* οὐ γὰρ οἶσθα, ὦ ἑταῖρε, οἷα μὲν εἶπεν, ὅπως δὲ αὐτὰ ἐπιστώσατο, ὅς γε καὶ ἐπώμνυτο τοῖς πλείστοις παραστησάμενος τὰ παιδία, ὥστε με καὶ ἀποβλέποντα ἐς αὐτὸν ποικίλα ἐννοεῖν, ἄρτι μὲν ὡς μεμήνοι καὶ ἔξω εἴη τοῦ καθεστηκότος, ἄρτι δὲ ὡς γόης ὢν ἄρα τοσοῦ-
34 τον χρόνον * ἐλελήθει με ὑπὸ τῇ λεοντῇ γελοῖόν τινα πίθηκον περιστέλλων· οὕτως ἄτοπα διηγεῖτο. *ΦΙΛ.* τίνα ταῦτα πρὸς τῆς Ἑστίας, ὦ Τυχιάδη; ἐθέλω γὰρ εἰδέναι, ἥν τινα τὴν ἀλαζονείαν ὑπὸ τηλικούτῳ τῷ πώγωνι ἔσκεπεν. 6. *ΤΥΧ.* εἴωθα μὲν καὶ ἄλλοτε, ὦ Φιλόκλεις, φοιτᾶν πρὸς αὐτὸν, εἴ ποτε πολλὴν τὴν σχολὴν ἄγοιμι, τήμερον δὲ Λεοντίχῳ συγγενέσθαι δεόμενος, (ἑταῖρος δέ μοι, ὡς οἶσθα) ἀκούσας παρὰ τοῦ παιδὸς, ὡς παρ' Εὐκράτην ἕωθεν ἀπέλθοι νοσοῦντα ἐπισκεψόμενος, ἀμφοῖν ἕνεκα ὡς καὶ τῷ Λεοντίχῳ συγγενοίμην κἀκεῖνον ἴδοιμι, (ἠγνοήκειν γὰρ ὡς νοσοίη) παραγίγνομαι πρὸς αὐτόν· εὑρίσκω δὲ αὐτόθι τὸν μὲν Λεόντιχον οὐκέτι, (ἐφθάκει γὰρ, ὡς ἔφασκον, ὀλίγον προεξεληλυθὼς) ἄλλους δὲ συχνοὺς, ἐν οἷς Κλεόδημός τε ἦν ὁ ἐκ τοῦ Περιπάτου καὶ Δεινόμαχος ὁ Στωϊκὸς καὶ Ἴων· οἶσθα τὸν ἐπὶ τοῖς Πλάτωνος λόγοις θαυμάζεσθαι ἀξιοῦντα, ὡς

όντος] διεξιόντες V, uti male Solanus non intellecto illo ὥσπερ, quod est „quasi". vide Heindorfium ad Plat. Phaedon. p. 88 d.
καὶ οὐδεὶς ἂν οὐδὲ πιστεύσειεν] οὐδὲ fortasse delendum est.
τά πολλὰ] ταπολλὰ Φ. τολμῆσαι] τολμήσαι a. ὅς γε καὶ] ita correxi. libri pessime: ὡς δέ καὶ —. ceterum apte conferunt Demosthenem 54, 38 init. ὥστε με ἀποβλέποντα m pr sed supra ὥστε με καὶ ἀποβλέποντα M. et καὶ fortasse delendum est.
ἐς αὐτὸν] ἐπ' αὐτόν Φ.

6. Λεοντίχῳ συγγενέσθαι] malim: Λεοντίχῳ τι συγγενέσθαι. vide infra c. 39 et Arist. Ran. v. 44. παραγίγνομαι] παραγίνομαι Φ. ἔφασκον] ἔφασκεν Ma. ἄλλους δὲ] ἄλλους τὲ a.

*μόνον ἀκριβῶς κατανενοηκότα τὴν γνώμην τοῦ ἀνδρὸς καὶ τοῖς ἄλλοις ὑποφητεῦσαι δυνάμενον. ὁρᾷς οἵους ἄνδρας σοι φημί, πανσόφους καὶ παναρέτους, ὅ τιπερ τὸ κεφάλαιον αὐτὸ ἐξ ἑκάστης * προαιρέσεως, αἰδεσίμους ἅπαντας καὶ μονονουχὶ φοβεροὺς τὴν πρόσοψιν. ἔτι καὶ ὁ ἰατρὸς Ἀντίγονος παρῆν κατὰ χρείαν, οἶμαι, τῆς νόσου ἐπικληθείς, καὶ ῥᾷον ἐδόκει ἤδη ἔχειν ὁ Εὐκράτης καὶ τὸ νόσημα τῶν συντρόφων ἦν· τὸ ῥεῦμα γὰρ ἐς τοὺς πόδας αὖθις αὐτῷ κατεληλύθει. καθέζεσθαι οὖν με παρ' αὐτὸν ἐπὶ τῆς κλίνης ὁ Εὐκράτης ἐπένευεν, ἠρέμα ἐγκλίνας τὴν φωνὴν ἐς τὸ ἀσθενικόν, ὁπότε εἶδέ με, καίτοι βοῶντος αὐτοῦ καὶ διατεινομένου τι μεταξὺ εἰσιὼν ἐπήκουον. κἀγὼ μάλα πεφυλαγμένως, μὴ ψαύσαιμι τῶν ποδῶν αὐτοῦ, ἀπολογησάμενος τὰ συνήθη ταῦτα, ὡς ἀγνοήσαιμι νοσοῦντα καὶ ὡς, ἐπεὶ ἔμαθον, δρομαῖος ἔλθοιμι, ἐκαθεζόμην πλησίον. 7. οἱ μὲν δὴ ἐτύγχανον περὶ τοῦ νοσήματος τὰ μὲν ἤδη προειρηκότες, τὰ δ' ἔτι*

ὑποφητεῦσαι] *ὑποφυτεῦσαι* M. *παναρέτους*] dixi (De atticismo Luc. I p. 20) Lucianum etiam laudandum fuisse, quod *ἐνάρετος* vocem minus atticam sed, ut recte Phrynichus in Epit. p. 328 Stoicis frequentem, in D. Meretr. X, 3 Stoico philosopho tribuerit, similemque nostro l. vocis *πανάρετος* esse rationem. paullo tamen antiquius est *ἐνάρετος*, quam Lobeckio l. l. videbatur. neque enim Diogenes Laertius VI, 11 ipse eo utitur, sed apud Diogenem Antisthenes philosophus. *πανάρετος*, pro quo h. l. cave *ἐναρέτους* scribas, eidem philosophi non minus jactasse videntur. *ὅ τιπερ τὸ κεφάλ.*] Quaestt. Luc. p. 38. verba *καὶ παναρέτους — αἰδεσίμους ἅπαντας* quasi scholium sine ullo scholio e cod. Voss. allata sunt, ex quo apparet haec ipsa verba ob homoearcton *καὶ παναρέτους* et *καὶ μονονουχὶ φοβεροὺς* in codice excidisse. *τῶν συντρόφων ἦν*] Lucianus Thucydidem II, 50 imitatur. *ἐπὶ τῆς κλίνης Γ* Bastii ad Aristaenet. p. 268. *ἐπὶ τῇ κλίνῃ* ΦMa et v. *ἐπένευεν*] ita scripsi. *ἐπένευσεν Γ*. *ἐκέλευεν* ΦMa et v. *τὴν φωνὴν*] ita correxi. libri *τῇ φωνῇ*. vide Pseudologistam c. 7 et Tullium in Oratore c. 8. *πεφυλαγμένος* m pr et corrector *πεφυλαγμένως* M. *πεφυλαγμένος* etiam efg, quod Jensio male probatum est. *ἔλθοιμι* ΦMa et v. *ἐξέλθοιμι* VY perverse. tu vide Toxar. c. 30.

7. *ἐτύγχανον* Bekker. libri *ἐτύγχανον ἤδη*. *περὶ* ΦMa. *ὑπὲρ* v. *τὰ μὲν ἤδη* v. *τὰ μὲν δὴ* fortasse Φ. *τὰ μὲν δὴ* m pr et

καὶ τότε διεξιόντες καὶ θεραπείας τινὰς ἕκαστος ὑποβάλ-
λοντες. ὁ γοῦν Κλεόδημος, εἰ τοίνυν, φησί, τῇ ἀριστε-
ρᾷ τις ἀνελόμενος χαμᾶθεν τὸν ὀδόντα τῆς μυγαλῆς
οὕτω φονευθείσης, ὡς προεῖπον, ἐνδήσειεν εἰς δέρμα
λέοντος ἄρτι ἀποδαρέντος, εἶτα περιάψειε περὶ τὰ σκέλη,
36 αὐτίκα παύεται * τὸ ἄλγημα. οὐκ εἰς λέοντος, ἔφη ὁ
Δεινόμαχος, ἐγὼ ἤκουσα, ἐλάφου δὲ θηλείας ἔτι παρθέ-
νου καὶ ἀβάτου· καὶ τὸ πρᾶγμα οὕτω πιθανώτερον· ὠκὺ
γὰρ ἡ ἔλαφος καὶ ἔρρωται μάλιστα ἐκ τῶν ποδῶν. ὁ δὲ
λέων ἄλκιμος μέν, καὶ τὸ λίπος αὐτοῦ καὶ ἡ χεὶρ ἡ
δεξιὰ καὶ αἱ τρίχες ἐκ τοῦ πώγωνος αἱ ὀρθαὶ μεγάλα
δύναιντ' ἄν, εἴ τις ἐπίσταιτο αὐτοῖς χρῆσθαι μετὰ τῆς
οἰκείας ἐπῳδῆς ἑκάστῳ· ποδῶν δὲ ἴασιν ἥκιστα ἐπαγγέλ-
λεται. καὶ αὐτός, ἦδ' ὃς ὁ Κλεόδημος, οὕτω πάλαι ἐγίγ-
νωσκον ἐλάφου χρῆναι διὰ τοῦτο δέρμα εἶναι, διότι ὠκὺ
ἡ ἔλαφος· ἔναγχος δὲ Λίβυς ἀνὴρ σοφὸς τὰ τοιαῦτα με-
τεδίδαξέ με εἰπὼν ὠκυτέρους εἶναι τῶν ἐλάφων τοὺς
λέοντας. ἀμέλει, ἔφη, καὶ αἱροῦσιν αὐτὰς διώκοντες. ἐπή-
νεσαν οἱ παρόντες, ὡς εὖ εἰπόντος τοῦ Λίβυος. 8. ἐγὼ
δέ, οἴεσθε γάρ, ἔφην, ἐπῳδαῖς τισι τὰ τοιαῦτα παύεσθαι

in marg. τὰ μὲν ἤδη M, de quo Belinus non solum errat, sed lectionem quao nulla est „sino cunctatione adoptat.“ habet enim M deinceps: τὰ δὲ καὶ τότε. τὰ δ' ἔτι καὶ τότε διεξιόντες καὶ θερ.] ita ἔτι transposui. libri τὰ δὲ καὶ τότε διεξιόντες, ἔτι δὲ καὶ θερ. at verba τὰ μὲν ἤδη et τὰ δ' ἔτι καὶ τότε opposita esse debent. libri χαμόθεν, sed recte χαμᾶθεν Cobetus V. L. p. 89, forma hellenistica χαμόθεν ex Asino c. 30 temere expulsa, de quo libro ipse p. 260 recte judicavit. τὸν ὀδόντα] post τὸν fortassis adjectivum excidit. μυγαλῆς pro μυγάλης Lehmannus.

περιάψειε] περιάψειεν Φ. ὁ δὲ λέων] ita correxi. libri καὶ ὁ λέων. libri μεγάλα δύναιντο. bene Dindorfius: μεγάλα δύναιντ' ἄν. Halmius: μεγάλ' ἂν δύναιντο. ego olim conjeceram: μεγάλα δύνανται, ratus scripturam Y δύναται (sic) ad h. l. pertinere, non ad inferiora. ἐπαγγέλλεται] δύναται Y (?). ἐγίγνωσκον] ἐγίνωσκον Φ. χρῆναι Φ diserte a et v et corrector in M, ubi m pr χρῆσθαι. διὰ τοῦτο δέρμα] ita correxi. διὰ τὸ δέρμα ΦMVYd. τὸ δέρμα v. ὠκὺ ἡ ἔλαφος] ita conjeci. libri hic: ὠκὺ ἔλαφος, sed iidem paullo ante: ὠκὺ γὰρ ἡ ἔλαφος.

8. ἔφην Φa et v. om M. ἐπῳδαῖς] ἐπαοιδαῖς ΦMa. οὐδεὶς εὖ φρονῶν correxi multo ante Cobetum V. L. p. 192. libri

ἢ τοῖς ἔξωθεν παραρτήμασι τοῦ κακοῦ ἔνδον διατρίβον-
τος; ἐγέλασαν ἐπὶ τῷ λόγῳ μου καὶ δῆλοι ἦσαν κατε-
γνωκότες μου πολλὴν τὴν ἄνοιαν, ἐπεὶ μὴ ἐπισταίμην
τὰ προδηλότατα καὶ περὶ ὧν ἂν οὐδεὶς εὖ φρονῶν ἀν-
τείποι, μὴ οὐχὶ οὕτως ἔχειν. ὁ μέντοι ἰατρὸς Ἀντίγονος
ἐδόκει μοι ἡσθῆναι τῇ ἐρωτήσει μου· πάλαι γὰρ ἠμε-
λεῖτο, οἶμαι, βοηθεῖν ἀξιῶν τῷ Εὐκράτει μετὰ τῆς τέχ-
νης, οἴνου τε παραγγέλλων ἀπέχεσθαι καὶ λάχανα σιτεῖ-
σθαι καὶ ὅλως ὑφαιρεῖν τοῦ τόνου. ὁ δ' οὖν Κλεόδημος
ὑπομειδιῶν ἅμα, τί λέγεις, ἔφη, ὦ Τυχιάδη; * ἄπιστον 37
εἶναί σοι δοκεῖ τὸ ἐκ τῶν τοιούτων γίγνεσθαί τινας ὠφε-
λείας ἐς τὰ νοσήματα; ἔμοιγε, ἦν δ' ἐγώ, εἰ μὴ πάνυ
κορύζης τὴν ῥῖνα μεστὸς εἴην, ὡς πιστεῦσαι τὰ ἔξω καὶ
μηδὲν κοινωνοῦντα τοῖς ἔνδοθεν ἐπεγείρουσι τὰ νοσή-
ματα μετὰ ῥηματίων, ὥς φατε, καὶ γοητείας τινὸς ἐνερ-
γεῖν καὶ τὴν ἴασιν ἐπιπέμπειν προσαρτώμενα. τὸ δ'
οὐδαμῶς ἂν γένοιτο, οὐδ' ἢν ἐς τοῦ Νεμείου λέοντος
τὸ δέρμα ἐνδήσῃ τις ἑκκαίδεκα μυγαλᾶς ὅλας· ἐγὼ γοῦν
αὐτὸν τὸν λέοντα εἶδον πολλάκις χωλεύοντα ὑπ' ἀλγη-
δόνων ἐν ὁλοκλήρῳ τῷ αὐτοῦ δέρματι. 9. πάνυ γὰρ
ἰδιώτης, ἔφη ὁ Δεινόμαχος, εἶ τὰ τοιαῦτα καὶ οὐκ ἐμέ-
λησέ σοι ἐκμαθεῖν, ὅντινα τρόπον ὁμολογεῖ τοῖς νοσή-
μασι προσφερόμενα. καί μοι δοκεῖς οὐδὲ τὰ προφανέ-

οὐδεὶς φρονῶν. δ' οὖν] libri γοῦν. κορύζης τὴν ῥῖνα μεστὸς Φ. τὴν ῥῖνα κορύζης μεστὸς v. vide Alexandrum c. 20: κορύζης μεστοῖς τὴν ῥῖνα. ὡς πιστεῦσαι Lehmannus. ὡς πιστεύσειν Φa et v. ὡς πιστεύειν M solus. vide Hermotim. c. 17: οἴει Μαργίτῃ διαλέγεσθαί τινι, ὡς πιστεῦσαι —. τὸ δ'] τόδ' a. τὸ δὲ Y. οὐδαμῶς ἂν γένοιτο] ita conjeci. οἷς ἂν γένοιτο VYd. οὐκ ἂν γένοιτο ΦMa. ἐνδήσῃ τις] ἐνδύσει τις Φ. ἐνδύσῃ τις Md. ἐνδήσῃς VY. μυγάλας ὅλας Ma (ita M). ὅλας μυγαλᾶς v et fortasse Φ. τὸν λέοντα] τὸν om M. ὁλοκλήρῳ] ὀλίγῳ VYd. αὐτοῦ] αὑτοῦ a g.

9. εἶ τὰ τοιαῦτα, καὶ] ita transposui. libri εἶ καὶ τὰ τοιαῦτα. ὁμολογεῖ] ita conjeci. ὁμιλεῖ ΦMa, ὠφελεῖ v, quae si conjectura est, sumta videtur e superioribus c. 8: γίγνεσθαί τινας ὠφελείας ἐς τὰ νοσήματα. sed ὁμολογεῖ h. l. ita dictum est, ut in Stoicorum decreto: ὁμολογεῖν τῇ φύσει, de quo vide Madvigium ad Cic. De Finibus III, 6 p. 378. καί μοι] κἀμοὶ ΦM. τί

στατα ἂν παραδέξασθαι ταῦτα, τῶν ἐκ περιόδου πυρετῶν τὰς ἀποπομπὰς καὶ τῶν ἑρπετῶν τὰς καταθέλξεις καὶ βουβώνων ἰάσεις καὶ τἄλλα ὁπόσα καὶ αἱ γρᾶες ἤδη ποιοῦσιν. εἰ δὲ ἐκεῖνα γίγνεται ἅπαντα, τί δή ποτε οὐχὶ καὶ ταῦτα οἴῃ γίγνεσθαι ὑπὸ τῶν ὁμοίων; ἀπέραντα, ἦν δ' ἐγώ, σὺ περαίνεις, ὦ Δεινόμαχε, καὶ ἥλῳ, φασίν, ἐκκρούεις τὸν ἧλον· οὐδὲ γὰρ ἃ φῂς αὐτὰ δῆλα μετὰ τοιαύτης δυνάμεως γιγνόμενα. ἢν γοῦν μὴ πείσῃς πρότερον ἐπάγων τῷ λόγῳ, διότι φύσιν ἔχει γίγνεσθαι οὕτω τά τε τοῦ πυρετοῦ καὶ τοῦ οἰδήματος, δεδιότος ἢ ὄνομα θεσπέσιον ἢ ῥῆσιν βαρβαρικὴν καὶ διὰ τοῦτο ἐκ
38 τοῦ * βουβῶνος δραπετεύοντος, ἴσα σοι γραῶν μύθοις τὰ λεγόμενά ἐστιν. 10. σύ μοι δοκεῖς, ἦδ' ὃς ὁ Δεινόμαχος, τὰ τοιαῦτα λέγων οὐδὲ θεοὺς εἶναι πιστεύειν, εἴ γε μὴ οἴει τὰς ἰάσεις οἷόν τε εἶναι ὑπὸ ἱερῶν ὀνομάτων γίγνεσθαι. τοῦτο μέν, ἦν δ' ἐγώ, μὴ λέγε, ὦ ἄριστε·

δή ποτε] ὅτι δήποτε ΥΦΜa. οὐχὶ καὶ ταῦτα] ita scripsi. libri οὐχὶ ταῦτα. σὺ περαίνεις] ita correxi. σὺ παραινεῖς Φ. ξυμπεραίνῃ v. Cobetus V. L. p. 192 ξυμπεραίνεις conjecit non prorsus falso. at etsi etiam συμπεραίνειν ita usurpatur, hic tamen praegresso illo ἀπέραντα ductus simplex περαίνειν ex optimo codice restitui. vide Sextum Empiricum VIII, 436: ἀπέραντον λόγον φάσκοντας περαίνειν. αὐτὰ δῆλα] ita conjeci. libri ταῦτα δῆλα. τῷ λόγῳ ΦΜa. τὸν λόγον v. γίγνεσθαι οὕτω τά τε τοῦ πυρετοῦ] ita conjeci. γίγνεσθαι οὕτω τε τοῦ πυρετοῦ ΦVYdp. γίγνεσθαι, οὔτε τοῦ πυρετοῦ M (ita M). γίγνεσθαι τοῦ τε πυρετοῦ v. olim in Quaestt. p. 347: γίγνεσθαι οὕτω, τοῦ τε πυρετοῦ conjeceram partim recte, sed zeugma satis incommodum nunc demum sustuli. ῥῆσιν βαρβαρικὴν] Lobeckius in Aglaoph. p. 1330 sq. ἴσα σοι γραῶν μύθοις] ita conjeci. libri ἔτι σοι γραῶν μῦθοι (ita diserte ΦΜ, sed a μῦθλοι (sic) pro μῦθοι). hinc Cobetus V. L. p. 269 melius h. l. esse dicit ὕθλοι quam μῦθοι. ac sane conjicere licet: ἴσα σοι γραῶν ὕθλοις. certe respicitur ad Dinomachi verba c. 9 init: ὁπόσα καὶ αἱ γρᾶες ἤδη ποιοῦσιν. sed ἔτι h. l. molestum atque mendosum esse jam Jacobsius in Append. ad Porsoni Advers. p. 300 bene perspexit. meae conjecturae haec favent: Arist. Avv. v. 1167: ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν et Lucian. V. Hist. I, 40: ἀπίστοις ἐοικότα. ἐστιν Φ. ἐστι v, sed ἐστι om pr m et suprascriptum habet M.

κωλύει γὰρ οὐδὲν καὶ θεῶν ὄντων ὅμως τὰ τοιαῦτα ψευδῆ εἶναι. ἐγὼ δὲ καὶ θεοὺς σέβω, καὶ ἰάσεις αὐτῶν ὁρῶ, καὶ ἃ εὖ ποιοῦσι τοὺς κάμνοντας ὑπὸ φαρμάκων καὶ ἰατρικῆς ἀνιστάντες. ὁ γοῦν Ἀσκληπιὸς αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ ἤπια φάρμακα πάσσοντες ἐθεράπευον τοὺς νοσοῦντας, οὐ λεοντᾶς καὶ μυγαλᾶς περιάπτοντες. **11.** ἔα τοῦτον, ἔφη ὁ Ἴων, ἐγὼ δὲ ὑμῖν θαυμάσιόν τι διηγήσομαι. ἦν μὲν ἐγὼ μειράκιον ἔτι ἀμφὶ τὰ τέτταρα καὶ δέκα ἔτη σχεδὸν, ἧκε δέ τις ἀγγέλλων τῷ πατρὶ, Μίδαν τὸν ἀμπελουργὸν, ἐρρωμένον ἐς τὰ ἄλλα οἰκέτην καὶ ἐργατικὸν, ἀμφὶ πλήθουσαν ἀγορὰν ὑπὸ ἐχίδνης δηχθέντα κεῖσθαι ἤδη σεσηπότα τὸ σκέλος· ἀναδοῦντι γὰρ αὐτῷ τὰ κλήματα καὶ ταῖς χάραξι περιπλέκοντι προσερπύσαν τὸ θηρίον δακεῖν κατὰ τὸν μέγαν δάκτυλον, καὶ τὸ μὲν φθάσαν καταδῦναι αὖθις ἐς τὸν φωλεὸν, τὸν * δὲ 39
οἰμώζειν ἀπολλύμενον ὑπ' ἀλγηδόνων. ταῦτά τε οὖν ἀπηγγέλλετο καὶ τὸν Μίδαν ἑωρῶμεν αὐτὸν ἐπὶ σκίμποδος ὑπὸ τῶν ὁμοδούλων προσκομιζόμενον, ὅλον ᾠδηκότα, πελιδνὸν, μυδῶντα τὴν ἐπιφάνειαν, ὀλίγον ἔτι ἐμπνέοντα. λελυπημένῳ δὴ τῷ πατρὶ τῶν φίλων τις παρελθὼν, θάρρει, ἔφη, ἐγὼ γάρ σοι ἄνδρα Βαβυλώνιον τῶν Χαλδαίων, ὥς φασιν, αὐτίκα μέτειμι, ὃς ἰάσεται

10. *ἤπια φάρμακα πάσσοντες*] ex Hom. Il. δ, 218 sq. at vel sic h. l. malim attice *πάττοντες* cum Dindorfio. *λεοντᾶς* Cobetus V. L. p. 86. libri *λέοντας*. *μυγαλᾶς* Lehmannus pro *μυγάλας*.

11. *τὰ τέτταρα*] *τὰ* om Ma. *δηχθέντα* om m pr et suprascriptum m sec M. *φθάσαν καταδῦναι*] ita conjeci. libri *φθάσαι καὶ καταδῦναι* (*καταδύναι* a). Cobetus V. L. p. 192: *φθάσαι καταδὺν* scribi voluit probante Dindorfio. *ἐς τὸν*] *ἐς τὴν* dp. *ἑωρῶμεν*] *ὁρῶμεν* M. *ἐπὶ σκ.* Φ et v. *ὑπὸ σκ.* Ma. *παρελθὼν* Φa. *παρὼν* v et M. *τῶν Χαλδαίων, ὥς φασιν*] ita libri neque id inepte dictum est: „ex numero ut ajunt Chaldaeorum". melior tamen sententia evadet, si ante v. *τῶν Χαλδαίων* suppleveris: *ἐν τοῖς πρώτοις*, h. e. „unum de Chaldaeorum principibus." vide Cic. De Divinat. II, 47: „in primis Chaldaicis rationibus eruditus" et Augustinum De Civ. D. X, 9: „vir in chaldaica bonus." certe h. l. ad Juliani cognomen *ὁ Χαλδαῖος* alludi puto.
ἰάσεται Φ et v. *ἰάσετο* Y. *ἰάσαιτο* Ma. *προσαρτήσας* Φa.

τὸν ἄνθρωπον. καὶ ἵνα μὴ διατρίβω λέγων, ἧκεν ὁ Βαβυλώνιος καὶ ἀνίστησε τὸν Μίδαν ἐπῳδῇ τινι ἐξελάσας τὸν ἰὸν ἐκ τοῦ σώματος, ἔτι καὶ προσαρτήσας τῷ ποδὶ τεθνηκυίας παρθένου λίθον ἀπὸ τῆς στήλης ἐκκόψας. καὶ τοῦτο μὲν ἴσως μέτριον, (καίτοι ὁ Μίδας αὐτὸς ἀράμενος τὸν σκίμποδα, ἐφ' οὗ ἐκεκόμιστο, ᾤχετο ἐς τὸν ἀγρὸν ἀπιών· τοσοῦτον ἡ ἐπῳδὴ ἐδυνήθη καὶ ὁ στηλίτης ἐκεῖνος λίθος), 12. ὁ δὲ καὶ ἄλλα ἐποίησε θεσπέσια ὡς ἀληθῶς. ἐς τὸν ἀγρὸν γὰρ ἐλθὼν ἕωθεν, ἐπειπὼν ἱερά τινα ἐκ βίβλου παλαιᾶς ὀνόματα ἑπτά, θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον περιελθὼν ἐς τρίς, ἐξήλασεν ὅσα ἦν ἑρπετὰ ἐντὸς τῶν ὅρων. ἧκον οὖν

προσαναρτήσας v et (?) M. vide supra c. 8 init: *τοῖς ἔξωθεν παραρτήμασιν* et c. 8 fin: *προσαρτώμενα*. *αὐτὸς ἀράμενος τὸν σκίμποδα*] in Evang. Matth. IX, 6, Marci II, 11 sq. et Lucae V, 25 simile miraculum traditur, quod Luciano non magis innotuerat, quam T. Livio II, 36 fin. item similia narranti. *ὁ στηλίτης ἐκεῖνος λίθος*] Cic. Pro Plancio c. 40 init: „dixisti — me — lapidem e sepulchro venerari pro deo".

12 *ἐς τὸν ἀγρὸν γὰρ* M. *ἐς γὰρ τὸν ἀγρὸν* v. vide infra ad c. 25. *ἱερά τινα* VYp. *ἱερατικά τινα* marg V et ΦMa et v. vide quae item de magis dicta sunt inprimis supra c. 10 init: *ὑπὸ ἱερῶν ὀνομάτων*, c. 9 fin: *ὄνομα θεσπέσιον* et haec Procli in Tim. IV, p. 226: *ὀνόματα θεῖα νυκτὸς καὶ ἡμέρας* et in Cratyl. p. 77: *ὀνόματα τῶν θείων κόσμων*. nomina quaedam sacra ab Lobeckio in Aglaoph. p. 871 sqq. collecta sunt. forma *ἱερατικὸς* i. e. „theurgicus" non Luciani est, sed seriorum ut ejusdem Procli in Civ. p. 379: *ταῖς ἱερατικαῖς ἁπάσαις πραγματείαις, ταῖς τελεταῖς* — et fortassis in mendosa Hesychii glossa *Βαιῶμφαι* (sic), ubi verba *ἐν ἱερατικοῖς* de sacris interpretor theurgicis. *ἐξήλασεν ὅσα ἦν ἑρπετὰ*] in Philopseude non solum philosophorum superstitiones, sed magorum artes rideutur, qui primi fuerant istarum superstitionum auctores iique teste etiam Aeliano De Nat. Anim. VI, 33 serpentes quoque incantando evocabant. in cod. V voci *ἱερατικὰ* aureum scholium adscriptum est: *οἷα εἰκὸς τὰ τελεστικά φησιν Ἰουλιανοῦ, ἃ Πρόκλος ὑπομνηματίζει, οἷς ὁ Προκόπιος ἀντιφθέγγεται πάνυ δεξιῶς καὶ γενναίως*. de Julianis, patre et filio vide Suidam bis s. v. et conjectanea Lobecki Aglaoph. p. 99 sqq., cujus copiis Thilo De coelo empyreo II p. 13 Arnobium adv. gent. lib. I p. 31 ed. Lugd., Basilium Seleuc. de vita s. Theclae l. I p. 100 ed. Pantin. et Anastasium Sin. quaestt. XX.

ὥσπερ ἑλκόμενοι πρὸς τὴν ἐπῳδὴν ὄφεις πολλοὶ καὶ ἀσπίδες καὶ ἔχιδναι καὶ κεράσται καὶ ἀκοντίαι * φρῦνοί τε καὶ φύσαλοι, ἐλείπετο δὲ εἷς δράκων παλαιὸς ὑπὸ γήρως, οἶμαι, ἐξερπύσαι μὴ δυνάμενος ἢ παρακούσας τοῦ προστάγματος. ὁ δὲ μάγος οὐκ ἔφη παρεῖναι ἅπαντας, ἀλλ' ἕνα τινὰ τῶν ὄφεων τὸν νεώτατον χειροτονήσας πρεσβευτὴν ἔπεμψεν ἐπὶ τὸν δράκοντα, καὶ μετὰ μικρὸν ἧκε κἀκεῖνος. ἐπεὶ δὲ συνηλίσθησαν, ἐνεφύσησε μὲν αὐτοῖς ὁ Βαβυλώνιος, τὰ δὲ αὐτίκα μάλα κατεκαύθη ἅπαντα ὑπὸ τῷ φυσήματι, ἡμεῖς δὲ ἐθαυμάζομεν. **13.** εἰπέ μοι, ὦ Ἴων, ἦν δ' ἐγώ, ὁ ὄφις ὁ πρεσβευτὴς ὁ νέος ἄρα καὶ ἐχειραγώγει τὸν δράκοντα ἤδη, ὡς φής, γεγηρακότα, ἢ σκίπωνα ἔχων ἐκεῖνος ἐπεστηρίζετο; σὺ μὲν παίζεις, ἔφη ὁ Κλεόδημος, ἐγὼ δὲ καὶ αὐτὸς ἀπιστότερος ὢν σου πάλαι τὰ τοιαῦτα, (ᾤμην γὰρ οὐδενὶ λόγῳ δυνατὸν εἶναι γίγνεσθαι αὐτά,) ὅμως ὅτε τὸ πρῶ-

---

in biblioth. PP. max. T. IX p. 990 et (II p. 19) Lydum De Mensibus p. 20 ed. Bekk., deniquo (II p. 14 sq.) de oraculis utriusque Juliani praeclaras conjecturas addidit, Crameri Anecdota Ox. Vol. III p. 187 et p. 369, 15 non addidit. uter Julianus h. l. dictus sit, dubitare licet. uterque enim et theurgus fuit clarissimus et aequalis Luciano, qui quonam anno Philopseuden scripserit, nescitur. alteruter quidem Julianus quum hic tum aliis Philopseudis locis omnino videtur derisus esse. nam Lucianus quos rideret, ne veteres quidem, ut ipse in Ver. Hist. I, 2 fin. testatur, omnes nedum aequales suos nomino appellavit. patrem Julianum ab scholiasta h. l. significari Lobeckius Agl. p. 100 conjiciebat Suida minus favente, qui *Τελεστικὰ* Juliano tribuit minori. sed Lobeckium ad alium libri nostri locum c. 16, quae in patrem Julianum cadunt, in filium non cadunt, ne adspirasse quidem miramur. *τῶν ὄρων*] *τῶν ὁρῶν* Φ. *τῶν ὀρῶν* M. *ὀρῶν* (omisso *τῶν*) a. *φρῦνοί τε*] malim: *καὶ φρῦνοι δὲ* —. *ἢ παρακούσας*] libri *παρακούσας*, sed *ἢ* Cobetus V. L. p. 192 recte inseruit. *συνηλίσθησαν* Solanus. codices (diserte ΦM) et edd. vett. *συνηυλίσθησαν*. ita De Luctu c. 7 pro *συναλισθῶσι* codex malo *συναυλισθῶσι*. *αὐτοῖς* ΥΦMa. *αὐτὰ* v.

13. *ἄρα*] *ἄρα* Φa. *ἤδη* om a. *δυνατὸν εἶναι γίγνεσθαι αὐτά,*] ita conjeci. *δυνατῷ* (*δυνατὸν* X) *πιστεῦσαι* et in marg. *γρ. δυνατὸν γίγνεσθαι* Φ et unus X. *δυνατῷ πιστεῦσαι αὐτὰ* et in *γρ. δυνατὸν γίγνεσθαι ἂν αὐτὰ* VY. *δυνατὸν γενέσθαι* (ita m pr

τον εἶδον πετόμενον τὸν ξένον τὸν βάρβαρον, (ἐξ Ὑπερ-
βορέων δὲ ἦν, ὡς ἔφασκεν) ἐπίστευσα καὶ ἐνικήθην ἐπὶ
πολὺ ἀντισχών. τί γὰρ ἔδει ποιεῖν αὐτὸν ὁρῶντα διὰ
τοῦ ἀέρος φερόμενον ἡμέρας οὔσης καὶ ἐφ' ὕδατος βα-
δίζοντα καὶ διὰ πυρὸς διεξιόντα σχολῇ καὶ βάδην; σὺ
ταῦτα εἶδες, ἦν δ' ἐγώ, τὸν Ὑπερβόρεον ἄνδρα πετό-
41 μενον ἢ ἐπὶ τοῦ * ὕδατος βεβηκότα; καὶ μάλα, ἦδ'
ὃς, ὑποδεδεμένον γε καρβατίνας, οἷα μάλιστα ἐκεῖνοι
ὑποδοῦνται. τὰ μὲν γὰρ σμικρὰ ταῦτα τί χρὴ καὶ λέγειν,
ὅσα ἐπεδείκνυτο ἔρωτας ἐπιπέμπων καὶ δαίμονας ἀνά-
γων καὶ νεκροὺς ἑώλους ἀνακαλῶν καὶ τὴν Ἑκάτην αὐ-
τὴν ἐναργῆ παριστὰς, καὶ τὴν Σελήνην κατασπῶν. 14.
ἐγὼ γοῦν διηγήσομαι ὑμῖν ἃ εἶδον γενόμενα ὑπ' αὐ-
τοῦ ἐν Γλαυκίου τοῦ Ἀλεξικλέους. ἄρτι γὰρ ὁ Γλαυκίας
τοῦ πατρὸς ἀποθανόντος παραλαβὼν τὴν οὐσίαν ἠράσθη
Χρυσίδος τῆς Δημέου γυναικὸς, ἐμοὶ δὲ διδασκάλῳ

---

et corrector γίγνεσθαι) αὐτὰ πιστεῦσαι M. δυνατὸν γενέσθαι πιστεῦσαι αὐτὰ a. δυνατὸν πιστεῦσαι ἂν alius X. δυνατὸν γίγνεσθαι ἂν αὐτὰ πιστεῦσαι Aldinae, quod in nullo codice legitur, sed e pluribus scripturis mirifice conflatum est. Solanus et ego in Quaestt. p. 348 πιστεῦσαι vidimus delendum esse: at delendum etiam ἂν et potius ἂν in εἶναι mutandum erat, qui infinitivus deesse nequit. ἐπίστευσα καὶ] ἐπίστευσα δὲ καὶ M. possis: ἐπίστευσά τε καὶ —. φερόμενον libri omnes etiam M mpr, sed corrector πετόμενον. σχολῇ Bekker. libri καὶ σχολῇ. εἶδες, ἦν δ' ἐγὼ Φ. ἦν δ' ἐγώ, εἶδες v. τὴν Ἑκάτην αὐτὴν] Hecaten unam omnium deorum dearumque maxime theurgi invocare solebant, uti bene Lobeckius in Aglaoph. p. 224. adde nunc prae caeteris Hippolytum Refutat. omn. haeres. IV, 35 p. 102 ed. Duncker, ubi magus Hecaten ita precari incipit: Νερτερίη χθονίη τε καὶ οὐρανίη μόλε βομβώ (sic), ubi ocius corrige: μόλε Βόμβῳ. magus enim sibimet ipse sanctum nomen imponit Bombi, id est antiqui vatis, de quo vide Zenobium II, 84 p. 53 ed. L. structura poetica μολεῖν τινι nota est vel tironibus.

14. universam hanc de Chryside narrationem cum dial. meretr. IVto comparare licet. γενόμενα] γιγνόμενα Φ. τῆς Δημέου γυναικὸς Φ et Δημέου in γρ. etiam schol. Voss. τῆς Δημαινέτου θυγατρὸς v. in vulgata artibus magicis eo minus quidquam loci est, quod ne hoc quidem additur, Glauciam ab Chryside non redamatum esse. nunc quum Chrysis Demeae uxor fuerit, magi

ἐχρῆτο πρὸς τοὺς λόγους, καὶ εἴ γε μὴ ὁ ἔρως ἐκεῖνος
ἀπησχόλησεν αὐτὸν, ἅπαντα ἂν ἤδη τὰ τοῦ Περιπάτου
ἠπίστατο, ὃς καὶ ὀκτωκαιδεκαέτης ὢν ἀνέλυε καὶ τὴν
φυσικὴν ἀκρόασιν μετεληλύθει ἐς τέλος· ἀμηχανῶν δὲ
ὅμως τῷ ἔρωτι μηνύει μοι τὸ πᾶν. ἐγὼ δὲ ὥσπερ εἰκὸς
ἦν διδάσκαλον ὄντα, τὸν Ὑπερβόρεον ἐκεῖνον μάγον
ἄγω πρὸς αὐτὸν ἐπὶ μναῖς τέτταρσι μὲν τὸ παραυτίκα
(ἔδει γὰρ προτελέσαι τι πρὸς τὰς θυσίας,) ἑκκαίδεκα δὲ,
εἰ τύχοι τῆς Χρυσίδος. ὁ δὲ αὐξομένην τηρήσας τὴν
σελήνην (τότε γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ * τοιαῦτα τελε- 42
σιουργεῖται) βόθρον τε ὀρυξάμενος ἐν αἰθρίῳ τινὶ τῆς
οἰκίας περὶ μέσας νύκτας ἀνεκάλεσεν ἡμῖν πρῶτον μὲν
τὸν Ἀλεξικλέα τὸν πατέρα τοῦ Γλαυκίου πρὸ ἑπτὰ μη-
νῶν τεθνεῶτα· ἠγανάκτει δὲ ὁ γέρων ἐπὶ τῷ ἔρωτι καὶ
ὠργίζετο, τὰ τελευταῖα δὲ ὅμως ἐφῆκεν αὐτῷ ἐρᾶν.
μετὰ δὲ τὴν Ἑκάτην τε ἀνήγαγεν ἐπαγομένην τὸν Κέρ-
βερον καὶ τὴν Σελήνην κατέσπασε, πολύμορφόν τι θέα-
μα καὶ ἄλλοτε ἀλλοῖόν τι φανταζόμενον· τὸ μὲν γὰρ
πρῶτον γυναικείαν μορφὴν ἐπεδείκνυτο, εἶτα βοῦς ἐγίγ-
νετο πάγκαλος, εἶτα σκύλαξ ἐφαίνετο. τέλος δ' οὖν ὁ

---

scilicet solertia opus fuit, qui lateri adhaerentem mariti uxorem avelleret. sed *Δημαινέτου* e c. 27, ubi *Δημαινέτη* est, sumtum videtur. ita duplex hic interpolatio est, et *θυγατρὸς* et vero *Δημαινέτου*, nomen per se atticum et ne comicis quidem, in quibus hodie *Δημέας* tantum exstat, olim ignotum, ut Plauti docet Asinaria. ceterum mulier ipsa ab Luciano non temere *Χρυσὶς* appellata est, quod nomen et apud nostrum D. Meretr. VIII° et in comoedia satis constat esse meretricium. *ἐς τέλος* Φ. *εἰς τέλος* v. *τέτταρσι* Jacobitius. *τέσσαρσι* libri (diserte M). *παραυτίκα* m pr et supra *τὸ παραυτίκα* M. *αὐξομένην* libri omnes, nullus *αὐξανομένην*. *ἐπιτοπολὺ* Φ et v ante Jacobitium, qui diremit. *ἐπιπολὺ* Ma. *περὶ μέσας νύκτας*] *περὶ μέσης νυκτός* (superscr. *ας* … *ας*) Φ. *Ἀλεξικλέα* Reitzius, ut libri supra c. 14 init. hic autem libri *Ἀναξικλέα*. *τὰ τελευταῖα δὲ ὅμως*] *τὰ τελευταῖα. ὅμως* (*ὁμῶς* Φ) *δὲ* ΦΜ. *πολύμορφον*] *πολύφωτον* Φ, sed in M m pr *πολύμορφον* et suprascr. *πολύφωτον*. ego malim: *καλλίμορφόν* vel potius: *κατέσπασεν, εὔμορφόν* —. *ἐγίγνετο*] ita scripsi ex Φ, qui *ἐγίνετο*. vulgo est *ἐγένετο*. *εἶτα βοῦς* — *εἶτα σκύλαξ*] conjicio aut *ἔπειτα β.* — *εἶτα σκ.*, aut *εἶτα β.* — *ἔπειτα σκ.* sic *εἶτα* — *ἔπειτα* Philyllius c. ap.

Ὑπερβόρεος ἐκ πηλοῦ ἐρώτιόν τι ἀναπλάσας, ἄπιθι, ἔφη, καὶ ἄγε Χρυσίδα. καὶ ὁ μὲν πηλὸς ἐξέπτατο, μετὰ μικρὸν δὲ ἐπέστη κόπτουσα τὴν θύραν ἐκείνη καὶ εἰσελθοῦσα περιβάλλει τὸν Γλαυκίαν ὡς ἂν ἐπιμανέστατα ἐρῶσα, καὶ συνῆν ἄχρι δὴ ἀλεκτρυόνων ἠκούσαμεν ᾀδόντων. τότε δ' ἥ τε σελήνη ἀνέπτατο ἐς τὸν οὐρανὸν καὶ ἡ Ἑκάτη ἔδυ κατὰ τῆς γῆς καὶ τὰ ἄλλα φαντάσματα ἠφανίσθη καὶ τὴν Χρυσίδα ἐξεπέμψαμεν περὶ αὐτό που σχεδὸν τὸ λυκαυγές. 15. εἰ ταῦτα εἶδες, ὦ Τυχιάδη, οὐκ ἂν ἔτι ἠπίστεις εἶναι πολλὰ ἐν ταῖς ἐπῳδαῖς χρήσιμα. εὖ λέγεις, ἦν δ' ἐγώ· ἐπί-
43 στευον * γὰρ ἄν, εἴ γε εἶδον αὐτά, νῦν δὲ συγγνώμη, οἶμαι, εἰ μὴ τὰ ὅμοια ὑμῖν ὀξυδορκεῖν ἔχω· πλὴν ἀλλ' οἶδα γὰρ τὴν Χρυσίδα, ἣν λέγεις, ἐράστριαν γυναῖκα καὶ πρόχειρον· οὐχ ὁρῶ δὲ τίνος ἕνεκα ἐδεήθητε ἐπ' αὐτὴν τοῦ πηλίνου πρεσβευτοῦ καὶ μάγου τοῦ ἐξ Ὑπερβορέων

Athen. IX p. 408, e, sed *ἔπειτα — εἶτα* Aristoph. Nub. v. 487 sq., at *εἶτα — εἶτα* in Lexiphane c. 2 init. videtur explodi. *μετὰ μικρὸν δὲ* Bekker. libri *καὶ μετὰ μικρὸν (μεταμικρὸν* abc) *δὲ* —. *ἐπιμανέστατα* Solanus ut videtur. libri *ἐμμανέστατα*. vide Verr. Hist. II, 25 et Jacobsi copias ad Achill. Tat. p. 922 sq.

τότε δ' Bekker libri *τότε δὴ* —. *φαντάσματα* Φ. *φάσματα* v. vide paullo ante *φανταζόμενον* et inprimis infra c. 29 med.

15. *εἰ ταῦτα εἶδες*] *εἰ ἂν εἶδες* M. *ἠπίστεις*] ita conjeci. libri *ἠπίστησας*. vide D. Mort. III, 1 fin. et hic paullo post: *ἐπίστευον γὰρ ἄν*. possis collato M *ἂν* ita transponere: *οὐκέτι ἠπίστεις ἂν εἶναι* —. at etiam *οὐκ ἂν ἔτι* atticum est. *ὀξυδορκεῖν* Φ. *ὀξυδερκεῖν* v. *ἐράστριαν*] ita conjeci. libri (diserte M) *ἐραστήν*. vide Eupolin ap. Polluc. III, 70: *γυναῖκας ἐραστρίας* et quae ad Ar. Thesmoph. v. 390 collegi. possis etiam: *ἐρωτικήν*, sicut Helena in D. D. XX, 13 *ἐρωτικὴ* dicitur. in Quaestt. p. 350 Cratini verbis *ἡ μηνυτὴς* comparatis *ἐραστὴν* h. l. ab *ἡ ἐραστὴς* derivabam eademque opinio Jacobsi fuerat A. P. p. 85. at mihi Lobeckius in Paralipom. p. 271 bene respondit hunc comicum comice lusisse, ut Aristophanem in formis *ἡ γραμματεὺς* et *ἡ ῥήτωρ*. sed et ego et Jacobsius aliquid tamen diximus, Lobeckius nihil dixit omnino. qui et ad Soph. Aj. p. 274 ed. I et l. l. p. 272 *ἐραστὸς* adjectivum etiam idem valuisse quod *ἐρωτικὸς* finxit, sed finxit, non exemplis certis demonstravit. nam neque *ἐρῶσα* neque *ἐραστὴ γυνὴ* sic usurpata sunt. *πρόχειρον*] *πρόθυμον* M solus.

καὶ σελήνης αὐτῆς, ἣν εἴκοσι δραχμῶν ἀγαγεῖν ἐς Ὑπερβορέους δυνατὸν ἦν. πάνυ γὰρ ἐνδίδωσι πρὸς ταύτην τὴν ἐπῳδὴν ἡ γυνὴ καὶ τὸ ἐναντίον τοῖς φάσμασι πέπονθεν· ἐκεῖνα μὲν γὰρ ἢν ψόφον ἀκούσῃ χαλκοῦ ἢ σιδήρου, πέφευγε (καὶ ταῦτα γὰρ ὑμεῖς φατε), αὕτη δὲ ἢν ἀργύριόν που ψοφῇ, ἔρχεται πρὸς τὸν ἦχον. ἄλλως τε καὶ θαυμάζω τοῦ μάγου, εἰ δυνάμενος αὐτὸς ἐρασθῆναι πρὸς τῶν πλουσιωτάτων γυναικῶν καὶ τάλαντα ὅλα παρ' αὐτῶν λαμβάνειν, ὁ δὲ τεττάρων μνῶν πάνυ σμικρολόγος ὢν τὸν Γλαυκίαν ἐπέραστον ἐργάζεται. γελοῖα ποιεῖς, ἔφη ὁ Ἴων, ἀπιστῶν ἅπασιν. 16. ἐγὼ δ' οὖν ἡδέως ἂν ἐροίμην σε, τί περὶ τούτων φῄς, ὅσοι τοὺς

πάνυ γὰρ ἐνδίδωσι — πρὸς τὸν ἦχον] haec omnia fere, quae plane comoediam spirant, e poeta comico hausta esse contendo, qui Chrysidem vel ipsam vel aliam meretriculam his fere versibus irriserit:

A. τῷ τρόπῳ
πρὸς τὴν ἐπῳδὴν ἐνδίδωσιν ἡ γυνή;
B. τοὐναντίον πέπονθε τοῖσι φάσμασιν·
ἐκεῖνα μὲν γάρ, ἢν ἀκούσῃ που ψόφον,
πέφευγεν, αὕτη δ', ἀργύριον ἢν που ψοφῇ,
[ἀλίσκεται καὶ] πρὸς τὸν ἦχον ἔρχεται. —

καὶ ταῦτα γὰρ cum ceteris libris M m pr, sed corrector *καὶ ταῦτά γε*. *αὕτη δὲ*] ita correxi in Quaestt. p. 350. libri *αὐτὴ δὲ* —. *ἢν* Dindorfius pro *ἄν*, quod b. l. ferri nequit. *θαυμάζω τοῦ μάγου*] ita scripsi. libri *θαυμάζω αὐτοῦ τοῦ μάγου*. ineptum istuc *αὐτοῦ* e sequente *αὐτὸς* nasci potuit. *τὸν Γλαυκίαν*] ita conieci. libri *Γλαυκίαν*.

16. certi aegroti ab Iudaeis pro daemoniacis habiti dietique sunt *δαιμόνιον ἔχειν* et *δαιμονίζεσθαι*. ceterum verbo res non mutatur neque hoc solo nomine veris sanationibus atque miraculis Servatoris in N. F. traditis fides derogari potest. itaque Straussio in l. Das Leben Jesu V. II p. 21 sqq. non adsentior. sed quum Lucianus libros sacros nunquam evolverit, fieri non potest, ut hic N. T. ridere voluerit. quod plurimi finxerunt, alio haec Lucianea referri posse negantes, in qua re veri aliqua species inest. certe in Palaestina daemoniacorum appellatio fuit frequentissima. nam et in N. F. daemoniaci saepe memorantur et ab Iudaeis graece loquentibus, ut ab Josepho De Bello Jud. VII, 6, 3, Antiq. VI, 11, 2 et ibid. VIII, 2, 3, tum et b. l. et in Tragodopod. v. 173 *Ἰουδαῖος — ἐξᾴδει* i. e. Iudaei daemoniacos sanant. restat ut demonstrem, magos etiam paganos hanc artem professos esse.

δαιμονῶντας ἀπαλλάττουσι τῶν δειμάτων, οὕτω σαφῶς ἐξᾴδοντες τὰ φάσματα. καὶ ταῦτα οὐκ ἐμὲ χρὴ λέγειν, ἀλλὰ πάντες ἴσασι τὸν Σύρον τὸν ἐκ τῆς Παλαιστίνης,

---

omitto, quod Celsus ap. Origenem c. Cels. I c. 28 fin. et I c. 38 med. ipsos Judaeos hanc doctrinam ab Aegyptiis accepisse contendit. sed Julianum alterum in Philopseude passim rideri supra ad c. 12 diximus. hoc autem loco Julianus pater magus rideri videtur, de quo Suidas s. v. *Ἰουλιανὸς ὁ Χαλδαῖος* haec quoque tradidit non cara auro contra: *ἔγραψε περὶ δαιμόνων βιβλία δ'*. Porphyrii commentarium in aliquod opus hujus ipsius Juliani patris Suidas nominat s. *Πορφύριος* loco mutilo, quem ita expleo: *Εἰς τὴν Ἰουλιανοῦ τοῦ Χαλδαίου* [*ἀγωγήν.*] *Φιλόσοφον ἱστορίαν ἐν βιβλίοις δ'*, ut *ἀγωγὴν* disciplinam dixerit theurgicam. denique ap. Augustin. De Civ. D. X, 9 Porphyrius locum affert „Chaldaei" h. e. ut recte Holstenius, Juliani ejusque patris, ne potest is Juliani locus, qui ap. Augustinum est, ex illo ipso opere *Περὶ δαιμόνων* sumtus videri. hinc vero etiam Philostrato sat certa lux affulget. nam in Vita Apollon. III, 38, ib. IV, 20, ib. IV, 25 Apollonius Tyanensis etiam daemoniacos sanasse dicitur. quas alii meras esse fabulas censent inter christianos jactatas et ab veris Servatoris miraculis ad Apollonium temere translatas, quibus viris Kayser ad Philostr. Prooem. p. IV adsensus est: alii iique ut mihi videntur diligentiores Philostratum, quum de Apollonio ageret, de Jesu cogitasse plane negarunt. quum enim hic Apollonius magus fuerit, nemo miretur Apollonium magi pagani personam egisse et daemones quoque expulisse. addam alium, cujus opera perierunt, Celsum, qui contra magos egregie (ut nostro in Alex. c. 21 visus est) scripserat. cui igitur dubium erit, quin, sicut Julianus *ὑπὲρ δαιμόνων* multa dixerat, ita Celsus in his ipsis libris non pauca *κατὰ δαιμόνων* scripserit? atqui ambo paganos magos daemonum expulsores defenderant impugnarantve: de Judaeis quidem neuter agere potuerat. *δ' οὖν* Bekker. *δὲ* m pr et suprascr. *γοῦν* M. *γοῦν* v. *τὰ φάσματα*] ita conjeci. libri *καὶ τὰ φάσματα*. *πάντες* om a. *τὸν Σύρον*] nihil turpius est errore scholiastae ad h. l. in codice H: *τὸν Χριστὸν ἴσως λέγει ὁ γόης.* sed plerique etiam alii falluntur, ut Palmerius E. C. p. 570, qui christianum ex apostolorum discipulis intelligi voluit. recte vero unus Burmeister („Lucianum ll. ss. risisse negatur" p. 5) h. l. Judaeum Palaestina ortum, praestigiatorem et medicum circumforaneum, hominem mercede conductum eumque Luciano aequalem dici ostendit. ejusmodi viros Favorinus ap. A. Gellium XIV, 1 § 2 contra Chaldaeos disputans „homines esse dicit aeruscatores et cibum quaestumque ex mendaciis captantes." . *ἐπὶ τούτῳ* Φa. *ἐπὶ τού-*

τὸν ἐπὶ τούτῳ σοφιστήν, ὅσους παραλαβὼν καταπίπτον-
τας * πρὸς τὴν σελήνην καὶ τὼ ὀφθαλμὼ διαστρέφοντας 44
καὶ ἀφροῦ πιμπλαμένους τὸ στόμα ὅμως ἀνίστησι καὶ
ἀποπέμπει ἀρτίους, ἐπὶ μισθῷ μεγάλῳ ἀπαλλάξας τῶν
δεινῶν. ἐπειδὰν γὰρ ἐπιστὰς κειμένοις ἔρηται, ὅθεν εἰσ-
εληλύθασιν εἰς τὸ σῶμα, ὁ μὲν νοσῶν αὐτὸς σιωπᾷ,
ὁ δαίμων δὲ ἀποκρίνεται ἑλληνίζων ἢ βαρβαρίζων ὅθεν
ἂν αὐτὸς ᾖ, ὅπως τε καὶ ὅθεν εἰσῆλθεν ἐς τὸν ἄν-
θρωπον· ὁ δὲ ὅρκους ἐπάγων, εἰ δὲ μὴ πεισθείη, καὶ
ἀπειλῶν ἐξελαύνει τὸν δαίμονα. ἐγὼ γοῦν . . . καὶ εἶδον
ἐξιόντα μέλανα καὶ καπνώδη τὴν χροιάν. οὐ μέγα, ἦν
δ' ἐγώ, τὰ τοιαῦτα σὲ ὁρᾶν, ὦ Ἴων, ᾧ γε καὶ αἱ ἰδέαι
αὐταὶ φαίνονται, οἵας ὁ πατὴρ ὑμῶν Πλάτων δείκνυσιν,
ἀμαυρόν τι θέαμα ὡς πρὸς ἡμᾶς τοὺς ἀμβλυώττοντας.
17. μόνος γὰρ Ἴων, ἔφη ὁ Εὐκράτης, ταῦτα εἶδεν, οὐχὶ
δὲ καὶ ἄλλοι πολλοὶ δαίμοσιν ἐντετυχήκασιν οἱ μὲν νύκτωρ
οἱ δὲ μεθ' ἡμέραν; ἐγὼ δὲ οὐχ ἅπαξ ἀλλὰ μυριάκις ἤδη
τὰ τοιαῦτα τεθέαμαι. καὶ τὸ μὲν πρῶτον ἐταραττόμην
πρὸς αὐτά, νῦν δ' ἤδη * ὑπὸ τοῦ ἔθους οὐδέν τι πα- 45

των et suprascr. ἐπὶ τούτῳ M. ἐπὶ τούτων v. καταπίπτοντας πρὸς τὴν σελήνην] vide Toxar. c. 24 fin., ubi αὐξανομένην additur, quod h. l. tacite suppletur. ἀρτίους ἐπὶ] haec om Φ. ἐπιστὰς κειμένοις ἔρηται Φ. ἐπιστῇ κειμένοις καὶ ἔρηται v. ὅθεν ἂν Bekker. libri ἢ ὅθεν ἄν. εἰσῆλθεν Bekker. libri ἐπῆλθεν. vide Ev. Lucae VIII, 30 et v. 33 atque Josephum De Bello Jud. VII, 6, 3 et Antiq. VI, 11, 2. μὴ πεισθείη v. ἀπειθοίη (sed ἀ ex correctione eraso μὴ) Φ. ἀπειθοίη Ma, quam lectionem codex Φ refellit. post ἐγὼ γοῦν (ἔγωγ' οὖν v.) signa posui lacunae. nam certissime hic aliquid male deest. supple: ἐγὼ γοῦν [καὶ ἐπήκουσα τοῦ Σύρου δαίμονα ἐξᾴδοντος] καὶ εἶδον ἐξιόντα —. vide non solum Ev. Matth. XVII, 18 et Lucae IV, 35 et v. 36, sed etiam Philostratum Vit. Apollon. IV, 20 sub finem. οἵας] ita correxi. ὅσα VYd. ὁσα Φ. ἃς Ma et v.

17. ταῦτα εἶδεν m pr et in marg. τὰ τοιαῦτα εἶδεν M. τὰ τοιαῦτα εἶδεν v. ταῦτα recepi. vulgatum nasci potuit vel e c. 16 fin: τὰ τοιαῦτα σὲ ὁρᾶν vel e c. 17 init: τὰ τοιαῦτα τεθέαμαι.

ἐντετυχήκασιν Lehmannus. libri ἐντετυχήκεσαν. ἐταραττόμην] malim, quod glorioso melius convenit: ὑπεταραττόμην. vide inprimis D. Mort. VII, 2 fin., tum etiam Icaromen. c. 13 et Aristoph. Vesp. v. 1285. νῦν δ' ἤδη ὑπὸ] ita conjeci. νῦν δὲ δὴ

ῥάλογον ὁρᾶν μοι δοκῶ, καὶ μάλιστα ἐξ οὗ μοι τὸν δακτύλιον ὁ Ἄραψ ἔδωκε σιδήρου τοῦ ἐκ τῶν σταυρῶν πεποιημένον καὶ τὴν ἐπῳδὴν ἐδίδαξε τὴν πολυώνυμον, ἐκτὸς εἰ μὴ κἀμοὶ ἀπιστήσεις, ὦ Τυχιάδη. καὶ πῶς ἄν, ἦν δ' ἐγώ, ἀπιστήσαιμι Εὐκράτει τῷ Δείνωνος, σοφῷ ἀνδρὶ καὶ ἐλευθερίῳ καὶ μάλιστα τὰ δοκοῦντά οἱ λέγοντι οἴκοι παρ' αὑτῷ ἐπ' ἐξουσίας; 18. τὸ γοῦν περὶ τοῦ ἀνδριάντος, ἦδ' ὃς ὁ Εὐκράτης ἅπασι τοῖς ἐπὶ τῆς οἰκίας ὅσαι νύκτες φαινόμενον καὶ παισὶ καὶ νεανίαις καὶ γέρουσι, τοῦτο οὐ παρ' ἐμοῦ μόνον ἀκούσειας ἂν ἀλλὰ καὶ παρὰ τῶν ἡμετέρων ἁπάντων. ποίου, ἦν δ' ἐγώ, ἀνδριάντος; οὐχ ἑώρακας, ἔφη, εἰσιὼν ἐν τῇ αὐλῇ ἑστηκότα πάγκαλον ἀνδριάντα, Δημητρίου ἔργον τοῦ ἀνθρωποποιοῦ; μῶν τὸν δισκεύοντα, ἦν δ' ἐγώ, φῂς τὸν ἐπικεκυφότα κατὰ τὸ σχῆμα τῆς ἀφέσεως, ἀπεστραμμένον εἰς τὴν δισκοφόρον, ἠρέμα ὀκλάζοντα τῷ ἑτέρῳ,

---

ὑπὸ ΦΜ. νῦν δὲ ὑπὸ v. καὶ μάλιστα Φ, ut in Quaestt. p. 351 conjeceram. καὶ νῦν μάλιστα v. plano sic est in Timone c. 9: καὶ μάλιστα ἐξ οὗ —. ὁ Ἄραψ ἔδωκε] vide infra c. 24 init. ἐπῳδὴν Φ et v. ἐπαοιδὴν Ma. καὶ ἐλευθερίῳ, καὶ μάλιστα] ita correxi. καὶ μάλιστα ἐλευθερίως ΦMa. μάλιστα καὶ ἐλευθερίως v. ironice et acerbe superstitiosus isto Eucrates appellatur „vir liberalis, seu libere sentiens" (freisinnig). Cobetus V. L. p. 192 καὶ μάλιστα ἐλευθέρως conjecit loco haudquaquam intellecto. οἱ] σοι ΦMa. οἴκοι παρ' αὑτῷ (αὐτῷ v) recte vulgo, quae omnia om ΦMa. notio ipsa pernecessaria est iisdemque verbis Lucianus etiam alibi utitur: vide Quaestt. p. 352. sed malim haec ita transponere: καὶ μάλιστα οἴκοι παρ' αὑτῷ τὰ δοκοῦντά οἱ λέγοντι ἐπ' ἐξουσίας. ἐπ' ἐξουσίας ΦMa. μετ' ἐξουσίας v. vide Quaestt. p. 138.

18. φαινόμενον] Quaestt. L. p. 235. ἑστηκότα] ἀνεστεκότα (sic) Φ, unde possis: ἄνω ἑστηκότα. ἦν δ' ἐγώ, φῂς] ἦν δ' ἐγῶ φῆς Φ. εἰς τὴν] εἰς τὸν una Amstolodamensis vitio typorum, quod Cobetus V. L. p. 192 unice probavit o statua una duas facere ausus. recte Solanus τὴν δισκοφόρον de manu discum gestante accepit. at v. ἀπεστραμμένον non intellectum est, de quo vide Arist. Pac. v. 279: ἀποστραφῆναι — τὼ πόδε, ubi bene scholiasta: ὃ ἡμεῖς διαστραφῆναι λέγομεν. alibi simplex ita ponitur ut ab Herodoto III, 129: Δαρεῖον — στραφῆναι τὸν πόδα. hic e proximis τῷ ἑτέρῳ verba τὸν ἕτερον πόδα cogitando adsume et ita

*ἐοικότα συναναστησομένῳ μετὰ τῆς βολῆς; οὐκ ἐκεῖνον, ἦδ' * ὅς, ἐπεὶ τῶν Μύρωνος ἔργων ἓν καὶ τοῦτό ἐστιν* 46 *ὁ δισκοβόλος, ὃν λέγεις· οὐδὲ τὸν παρ' αὐτόν φημι, τὸν διαδούμενον τὴν κεφαλὴν τῇ ταινίᾳ, τὸν καλόν, Πολυκλείτου γὰρ τοῦτο ἔργον. ἀλλὰ τοὺς μὲν ἐπὶ τὰ δεξιὰ εἰσιόντων ἄφες, ἐν οἷς καὶ τὰ Κριτίου καὶ Νησιώτου*

---

verto: „sinistro pede distorto (i. e. varo, sive, lutrorsum retorto) dextram versus disci pondere gravem." ejusdem rei Quinctilianus testis est Instit. II, 13: „quid tam distortum et elaboratum, quam est ille discobolos Myronis?" adde quod in statua hoc Myronis opus imitante pes sinister distortus est, de qua re vide Böttigerum in l. Andeutungen — über die Arch. p. 139. item alii discoboli ap. Statium in Thebaide VI, 641 sqq. valde laborant. *συναναστησομένῳ* Bekker. *συναναντησομένῳ* Φ. *συναντησομένῳ* Ma. *ξυναναστησομένῳ* v. *Κριτίου καὶ Νησιώτου* Rossius in Dissertt. Archaeol. I p. 162. libri: *Κριτίου* (*Κρητίου* M) *τοῦ Νησιώτου*. tum in Rhetor. Praec. c. 9: *οἷα τὰ τῆς παλαιᾶς ἐργασίας ἐστίν, Ἡγησίου* (sic) *καὶ τῶν ἀμφὶ Κριτίαν* (ita BV. *κρίτιαν* U. *Κράτητα* edd. vett. *τὸν ἀμφὶ κρητίαν* AC) *καὶ Νησιώτην*, ubi libri omnes recte *καὶ Νησιώτην*, Rossius l. l. p. 163 *Κρίτιον* correxit nixus inscriptionibus atticis recens repertis, in quarum prima (p. 163) nominum hae sunt reliquiae: .... *ΟΣ ΚΑΙ ΝΕΣΟΤΗΣ*, secunda (p. 164) omnium gravissima ita desinit: *ΚΡΙΤΙΟΣ ΚΑΙ ΝΕΣΙΟΤΕΣ ΕΠΟ . . . ΑΤΕΝ*, de tertia (p. 176 et l. l. II p. 314 sq.), in qua nomen item clare est *ΝΕΣΙΟΤΕΣ*, utrum hic noster an alius cognominis fuerit, dubitatur. adde Plinium H. N. 34, 8, 19: „eodem tempore aemuli ejus (Phidiae) fuere Alcamenes, Critias, Nestocles (recte cod. Bamb. „nesiotes", ut Junius conjecerat) Hegias" et Pausaniam VI, 3, 2, qui atticum hunc fuisse Critium docet („*τὸν Ἀττικὸν Κριτίαν*"), eundem I, 8, 5: *τῶν δὲ ἀνδριάντων* (sc. *Ἁρμοδίου καὶ Ἀριστογείτονος*) *οἱ μέν εἰσι Κριτίου τέχνη*" et eundem I, 23, 11: „*Ἐπιχαρίνου μὲν ὁπλιτοδρομεῖν ἀσκήσαντος τὴν εἰκόνα ἐποίησε Κριτίας*" (*Κρίτιος* et *Κρίτιον* Rossius p. 164 in Pausania quoque recte, sed justum accentum *Κριτίος* esse multi viderunt). saepius artifices non singulos sed paria artificum conjuncta nominari Rossius p. 166 ostendit, cui adsentior alterum ab altero in opere adjutum fuisse, quae res de poetis scenicis *συμποιεῖν* dicitur. statuarios quidem hosce viros fuisse multi jam olim viderant, ut Solanus ad h. l., Struvius L. L. p. 250 sq., Thierschius (Epochen d. b. K. p. 128 sq. adn. 16 ed. sec.) et Silligius Catal. Artif. p. 163 in eo tantum falsi, quod pro cognomine *Νησιώτης* habuerant. alii ut Graevius, Kuster ad h. l.,

πλάσματα ἕστηκεν, οἱ τυραννοκτόνοι. σὺ δὲ εἴ τινα
παρὰ τὸ ὕδωρ τὸ ἐπιρρέον εἶδες προγάστορα, φαλαντίαν,
ἡμίγυμνον τὴν ἀναβολὴν, ἠνεμωμένον τοῦ πώγωνος
τὰς τρίχας ἐνίας, ἐπίσημον τὰς φλέβας, αὐτοανθρώπῳ
ὅμοιον, ἐκεῖνον λέγω, Πέλλιχος ὁ Κορίνθιος στρατηγὸς
εἶναι δοκεῖ. 19. νὴ Δί', ἦν δ' ἐγὼ, εἶδόν τινα ἐπὶ τὰ
δεξιὰ τοῦ Κρόνου ταινίας καὶ στεφάνους ξηροὺς ἔχοντα,
κεχρυσωμένον πετάλοις τὸ στῆθος. ἔγωγε, ὁ Εὐκράτης
ἔφη, ἐκεῖνα ἐχρύσωσα, ὁπότε μ' ἰάσατο διὰ τρίτης ὑπὸ
τοῦ ἠπιάλου ἀπολλύμενον. ἦ γὰρ καὶ ἰατρὸς, ἦν δ' ἐγὼ,
ὁ βέλτιστος οὗτος Πέλλιχός ἐστι; μὴ σκῶπτε, ἦδ' ὃς ὁ
47 Εὐκράτης, ἤ σε οὐκ εἰς μακρὰν μέτεισιν ὁ * ἀνήρ·
οἶδ' ἐγὼ ὅσον δύναται οὗτος ὁ ὑπὸ σοῦ γελώμενος ἀν-
δριάς. ἢ οὐ νομίζεις τοῦ αὐτοῦ εἶναι καὶ ἐπιπέμπειν
ἠπιάλους οἷς ἂν ἐθέλῃ, καὶ ἀποπέμπειν, εἴ γε δυνατὸν
αὐτῷ; ἵλεως, ἦν δ' ἐγὼ, ἔστω ὁ ἀνδριὰς καὶ ἤπιος οὕ-
τως ἀνδρεῖος ὤν. τί δ' οὖν καὶ ἄλλο ποιοῦντα ὁρᾶτε
αὐτὸν ἅπαντες οἱ ἐν τῇ οἰκίᾳ; ἐπειδὰν τάχιστα, ἔφη,
νὺξ γένηται, ὁ δὲ καταβὰς ἀπὸ τῆς βάσεως, ἐφ' ᾗ ἕστη-

Toupius ad Longin. p. 278, Lehmannus VII p. 524, Fossius De Gorg. Leont. p. 6 hos sculptores ubique in rhetoras transformarunt. φαλαντίαν] malim: προγάστορα, ἀναφαλαντίαν, qua sola forma Lucianus utitur. αὐτοανθρώπῳ] in eo ipso hic Demetrius ab Quinctiliano Instit. XII, 10 reprehenditur, quod nimius in veritate et similitudinis quam pulchritudinis amantior fuerit. Πέλλιχος Φ et fortasse M. Πέλιχος a et v. eodem modo infra c. 19 et c. 20 quinquies variatur, ita ut Φ constanter πέλλιχος exhibeat. apud Thucydidem I, 29 pro vulgata πελλίκου omnes fere codices πελλίχου, recte probante Koenio ad Greg. Cor. p. 291 ed. Sch. nam ut bene ad h. l. Dindorfius, duplicem literam analogia postulat. confer nomina simillima, Ἀπελλῆς, Ἀπελλικῶν, Ἀπέλλιχος, alia.

19. ἐπὶ τὰ δεξιὰ] ἐπὶ δεξιὰ Φa. ἔγωγε] ita conjeci. libri ἐγὼ δὲ —. ἦ γὰρ] libri ἦν γὰρ —. Πέλλιχός ἐστι; μὴ σκῶπτε] libri Πέλιχος; (πέλλιχος; Φ) ἔστι καὶ μὴ σκῶπτε. οἶδ' hic et c. 20 init. Bekker pro οἶδα. οἷς ἂν ἐθέλῃ Φ. οἷς ἂν ἐθέλοι v. καὶ ἀποπέμπειν, εἴ γε] ita transposui. libri εἴ γε καὶ ἀποπέμπειν. Cobetus V. L. p. 192 vitio ipso bene animadverso, ut formam graecam sententiae redderet, quatuor verba εἴ γε et δυνατὸν αὐτῷ frustra delevit. ἐνίοτε καὶ ᾄδων τε, καὶ πάντες ἐντυγχάνουσιν αὐτῷ] ita transposui. libri: καὶ πάντες ἐντυγχάνουσιν

κε, περίεισιν ἐν κύκλῳ τὴν οἰκίαν ἐνίοτε καὶ ᾄδων τι, καὶ
πάντες ἐντυγχάνουσιν αὐτῷ καὶ οὐκ ἔστιν ὅντινα ἠδίκη-
σεν· ἐκτρέπεσθαι γὰρ χρὴ μόνον· ὁ δὲ παρέρχεται μη-
δὲν ἐνοχλήσας τοὺς ἰδόντας. καὶ μὴν καὶ λοῦται τὰ
πολλὰ καὶ παίζει δι' ὅλης τῆς νυκτὸς, ὥστε ἀκούειν τοῦ
ὕδατος ψοφοῦντος. ὅρα τοίνυν, ἦν δ' ἐγὼ, μὴ οὐχὶ
Πέλλιχος ὁ ἀνδριὰς ἀλλὰ Τάλως ὁ Κρὴς ὁ τοῦ Μίνωος
ᾖ· καὶ γὰρ ἐκεῖνος χαλκοῦς τις ἦν τῆς Κρήτης περίπολος.
εἰ δὲ μὴ χαλκοῦ, ὦ Εὔκρατες, ἀλλὰ ξύλου ἐπεποίητο,
οὐδὲν αὐτὸν ἐκώλυεν οὐ Δημητρίου ἔργον * εἶναι ἀλλὰ 48
τῶν Δαιδάλου τεχνημάτων· δραπετεύει γοῦν, ὡς φῄς,
ἀπὸ τῆς βάσεως καὶ οὗτος. 20. ὅρα, ἔφη, ὦ Τυχιάδη,
μή σοι μεταμελήσῃ τοῦ σκώμματος ὕστερον. οἶδ' ἐγὼ
οἷα ἔπαθεν ὁ τοὺς ὀβολοὺς ὑφελόμενος, οὓς καθ' ἑκά-
στην τὴν νουμηνίαν τίθεμεν αὐτῷ. πάνδεινα ἐχρῆν, ὁ
Ἴων ἔφη, ἱερόσυλόν γε ὄντα. πῶς δ' οὖν αὐτὸν ἠμύ-
νατο, ὦ Εὔκρατες; ἐθέλω γὰρ ἀκοῦσαι, εἰ καὶ ὅτι μά-
λιστα οὑτοσὶ Τυχιάδης ἀπιστήσει. πολλοὶ, ἦ δ' ὅς,
ἔκειντο ὀβολοὶ πρὸς τοῖν ποδοῖν αὐτοῦ καὶ ἄλλα νομισ-
μάτια ἀργυρᾶ πρὸς τὸν μηρὸν κηρῷ κεκολλημένα καὶ
πέταλα ἐξ ἀργύρου, εὐχαί τινος ἢ μισθὸς ἐπὶ τῇ ἰάσει
ὁπόσοι δι' αὐτὸν ἐπαύσαντο πυρετῷ ἐχόμενοι. ἦν δὲ

αὐτῷ ἐνίοτε καὶ ᾄδοντι. tu confer infra c. 21 init: περίεισι τὴν οἰκίαν ὅλην ἐν κύκλῳ ψοφῶν. λοῦται Cobetus V. L. p. 84. libri λούεται. δι' ὅλης τῆς νυκτὸς a. δι' ὅλης νυκτὸς v et fortasse ΦΜ. ὁ τοῦ Μίνωος] malim ὁ ἐπὶ τοῦ Μίνωος, ut de eadem re scriptum est c. 20 fin: ὥσπερ τοῦ Μίνωος ἡλικιώτην. vulgatam defendit Schaefer ad Bos. Ellips. p. 118, qui uti poterat Apollodoro Bibl. I, 9, 26 et Zenobio V, 85 sub finem. χαλκοῦ] χαλκοῦς V.
ἐκώλυεν] malim ἐκώλυεν ἂν —. βάσεως Φ et v. στάσεως Ya et in pr M, ubi corrector βάσεως.

20. καθ' ἑκάστην τὴν νουμηνίαν V. κατὰ τὴν νουμηνίαν καθεκάστην ΦΜ. κατὰ τὴν νουμηνίαν ἑκάστην v. πῶς δ' οὖν] libri πῶς οὖν. πρὸς τοῖν ποδοῖν] πρὸ τ. π. Solanus probante Cobeto V. L. p. 192. at τοῖν ποδοῖν dativus est. vide D. Meretr. XIV, 3 init. νομισμάτια] ita conjeci. libri νομίσματα ἔνια. at ἄλλα — ἔνια hoc ordine poni jungive nequeunt. ἀργυρᾶ om a sola. habet Φ diserte. πρὸς τὸν μηρὸν] πρὸς τῷ μερῷ Φ (i. e. supra τὸν μερὸν, sic). κηρῷ] κερῷ bc. κατάρατος] malim

ἡμῖν Λίβυς τις οἰκέτης κατάρατος, ἱπποκόμος· οὗτος ἐπεχείρησε νυκτὸς ὑφελέσθαι πάντα ἐκεῖνα καὶ ὑφείλετο καταβεβηκότα ἤδη τηρήσας τὸν ἀνδριάντα. ἐπεὶ δὲ ἐπανελθὼν τάχιστα ἔγνω περισεσυλημένος ὁ Πέλλιχος, ὅρα ὅπως ἠμύνατο καὶ κατεφώρασε τὸν Λίβυν. δι' ὅλης γὰρ τῆς νυκτὸς περιῄει ἐν κύκλῳ τὴν αὐλὴν ἄθλιος ἐξελθεῖν οὐ δυνάμενος, ὥσπερ ἐς λαβύρινθον ἐμπεσών, ἄχρι δὴ κατελήφθη ἔχων τὰ φώρια γενομένης ἡμέρας. καὶ τότε
49 μὲν * πληγὰς οὐκ ὀλίγας ἔλαβεν ἁλούς, οὐ πολὺν δὲ ἐπιβιοὺς χρόνον κακὸς κακῶς ἀπέθανε μαστιγούμενος, ὡς ἔλεγε, κατὰ τὴν νύκτα ἑκάστην, ὥστε καὶ μώλωπας ἐς τὴν ἐπιοῦσαν φαίνεσθαι αὐτοῦ ἐπὶ τοῦ σώματος. πρὸς ταῦτα, ὦ Τυχιάδη, καὶ τὸν Πέλλιχον σκῶπτε κἀμὲ ὥσπερ τοῦ Μίνωος ἡλικιώτην παραπαίειν ἤδη δόκει. ἀλλ', ὦ Εὔκρατες, ἦν δ' ἐγώ, ἔστ' ἂν χαλκὸς μὲν ὁ χαλκὸς ᾖ τὸ δὲ ἔργον Δημήτριος ὁ Ἀλωπεκῆθεν εἰργασμένος ᾖ, οὐ θεοποιός τις ὢν ἀλλ' ἀνθρωποποιός, οὔποτε φοβήσομαι τὸν ἀνδριάντα Πελλίχου, ὃν οὐδ' ἂν ζῶντα πάνυ ἐδεδίειν ἀπειλοῦντά μοι. 21. ἐπὶ τούτοις Ἀντίγονος ὁ ἰατρὸς εἶπε· κἀμοί, ὦ Εὔκρατες, Ἱπποκράτης ἐστὶ χαλκοῦς ὅσον πηχυαῖος τὸ μέγεθος, ὃς μό-

---

transponere: *Λίβυς, κατάρατός τις οἰκέτης, ἱππ.* vide Rhetor Praec. c. 24 fin. et Timon. c. 14. *ἄθλιος*] *ὁ ἄθλιος* Solanus. *γενομένης ἡμέρας* Ma. *γενομένης τῆς ἡμέρας* v et (?) Φ. *ἀπέθανε — ἔλεγε*] *ἀπέθανεν — ἔλεγεν* Φ. *αὐτοῦ ἐπὶ τοῦ σώματος*] malim transponere: *ἐπὶ τοῦ σώματος αὐτοῦ.* *τοῦ μίνωος* VΦd et haud dubie Y (cujus *τοῦ* ad superius *αὐτοῦ* male relatum est). *τὸν Μίνωος* v. in Quaestt. L. Praef. p. XXX Juntinae *τοῦ* h. l. probavi collato Navig. c. 9 fin. *ἔστ' ἂν χαλκὸς μὲν ὁ χαλκὸς* Φ. *ἔστ' ἂν ὁ χαλκὸς μὲν χαλκὸς* v. vide infra c. 35 med. *τὸ δὲ ἔργον*] ante haec vorba ego ipse *ᾖ* inserui. subjunctivum male deesse Bekker quoque vidit, frustra tamen scripsit: *ἔστ' ἂν ὁ χαλκὸς μένῃ χαλκὸς —.* *ἀλωπεκῆθεν* ΦΜ cum Solano. *Ἀλωπεκεῖθεν* edd. vett. *τις ὢν ἀλλ' ἀνθρωποποιὸς* (*ἀνθρωποπιὸς* Φ) *οὔποτε* Φ. *τις ἀλλ' ἀνθρωποποιὸς ὢν οὔποτε* v. libri *οὐδὲ ζῶντα*, sed *οὐδ' ἂν ζῶντα* et ego dudum et Cobetus V. L. p. 192. non recte La Croze *ἐδεδίειν ἂν* pro *ἐδεδίειν* voluerat.

21. *θρυαλλὶς* ΦΜ 1 m o. *θριαλλὶς* edd. vett. *κατὰ τὸ ἔτος*] *κατὰ ἔτος* V. *αὐτῷ θύομεν*] *ἑαυτῷ θύομεν* M. *ἤδη ὁ ἰατρὸς*]

νον ἐπειδὰν ἡ θρυαλλὶς ἀποσβῇ, περίεισι τὴν οἰκίαν ὅλην ἐν κύκλῳ ψοφῶν καὶ τὰς πυξίδας ἀνατρέπων καὶ τὰ φάρμακα συγχέων καὶ τὴν θύραν περιτρέπων, καὶ μάλιστα ἐπειδὰν τὴν θυσίαν ὑπερβαλώμεθα, ἣν κατὰ τὸ ἔτος ἕκαστον αὐτῷ θύομεν. ἀξιοῖ γάρ, ἦν δ' ἐγώ, καὶ Ἱπποκράτης ἤδη ὁ ἰατρὸς θύεσθαι ἑαυτῷ καὶ ἀγανακτεῖ, ἢν μὴ κατὰ καιρὸν ἐφ' ἱερῶν τελείων ἑστιαθῇ; ὃν ἔδει * ἀγαπᾶν, εἴ τις ἐναγίσειεν αὐτῷ ἢ μελίκρατον ἐπισπείσειεν ἢ στεφανώσειε τὴν κεφαλήν. 22. ἄκουε τοίνυν, ἔφη ὁ Εὐκράτης, τοῦτο μὲν καὶ ἐπὶ μαρτύρων, ὃ πρὸ ἐτῶν πέντε εἶδον. ἐτύγχανε μὲν ἀμφὶ τρυγητὸν τὸ ἔτος ὄν, ἐγὼ δὲ κατὰ τὸν ἀγρὸν μεσούσης ἡμέρας τρυγῶντας ἀφεὶς τοὺς ἐργάτας κατ' ἐμαυτὸν εἰς τὴν ὕλην ἀπῄειν μεταξὺ φροντίζων τι καὶ ἀνασκοπούμενος. ἐπεὶ δ' ἐν τῷ συνηρεφεῖ ἦν, τὸ μὲν πρῶτον ὑλαγμὸς ἐγένετο κυνῶν, κἀγὼ εἴκαζον Μνάσωνα τὸν υἱόν, ὥσπερ εἰώθει, παίζειν καὶ κυνηγετεῖν ἐς τὸ λάσιον μετὰ τῶν ἡλικιωτῶν παρελθόντα. τὸ δ' οὐκ εἶχεν οὕτως, ἀλλὰ μετ' ὀλίγον σεισμοῦ τινος γενομένου καὶ βοῆς οἷον ἐκ βροντῆς γυναῖκα ὁρῶ προσιοῦσαν φοβεράν, ἡμισταδιαίαν σχεδὸν τὸ ὕψος. εἶχε δὲ καὶ δᾷδα ἐν τῇ ἀριστερᾷ καὶ ξίφος ἐν τῇ δεξιᾷ ὅσον εἰκοσάπηχυ καὶ τὰ μὲν ἔνερθεν ὀφιόπους ἦν, τὰ δὲ ἄνω Γοργόνι ἐμφερής, τὸ βλέμμα φημὶ καὶ τὸ φρικῶδες τῆς προσόψεως, καὶ ἀντὶ τῆς κόμης τοὺς δράκοντας περιέκειτο βοστρυχηδὸν εἱλου-

haec omnia om ΦMa. ego plura etiam requiro suppleoque: ἤδη ὁ [Κῷος] ἰατρὸς —. vide Verr. Hist. II, 7 fin. et Hermotim. c. 1. θύεσθαι ἑαυτῷ] ita scribere (collata superiore lectione ἑαυτῷ θύομεν) malui quam cum Dindorfio (in edit. Paris.) θύεσθαι αὐτῷ. vulgo θύεσθαι αὐτῷ. ἐφ' ἱερῶν VΦMYdp, probante Hemsterhusio ad Timonem c. 7. ὑφ' ἱερῶν a. ἀφ' ἱερῶν aliae edd. vett.

22. ἔφη ὁ] ἔφη ὦ a. ἐπὶ μαρτύρων, ὃ] suppleo: ἐπὶ μαρτύρων [γενόμενον,] ὃ —. πέντε] ποτὲ m pr et suprascr. πέντε M. τὸ ἔτος] τοῦ ἔτους Φ. κατὰ τὸν ἀγρὸν] ita coujeci. libri ἀμφὶ τὸν ἀγρόν, quod vitium e superiore ἀμφὶ τρυγητὸν natum est. ἡμέρας ΦM. τῆς ἡμέρας v. ἐς τὸ ΦM. εἰς τὸ v. λάσιον] λαγεῖον in textu et in marg. γρ. λάσιον Φ, contra λάσιον in textu et in m λαγεῖον M. μετ' ὀλίγον] μετολίγον Φ. ὀφιόπους] ὀφεόπους Φ. περιέκειτο· βοστρυχηδὸν a. βοστρυχηδὸν

μένους περὶ τὸν αὐχένα καὶ ἐπὶ τῶν ὤμων ἐνίους ἐσπει-
ραμένους. ὁρᾶτε, ἔφη, ὅπως ἔφριξα, ὦ φίλοι, μεταξὺ
διηγούμενος; καὶ ἅμα λέγων ἐδείκνυεν ὁ Εὐκράτης τὰς
ἐπὶ τοῦ πήχεως τρίχας πάσας ὀρθὰς ὑπὸ τοῦ φόβου.
23. οἱ μὲν οὖν ἀμφὶ τὸν Ἴωνα καὶ τὸν Δεινόμαχον καὶ
τὸν Κλεόδημον κεχηνότες ἀτενὲς προσεῖχον αὐτῷ γέρον-
51 τες ἄνδρες, ἑλκόμενοι * τῆς ῥινὸς, ἠρέμα προσκυνοῦν-
τες οὕτως ἀπίθανον κολοσσὸν, ἡμισταδιαίαν γυναῖκα,
γιγάντειόν τι μορμολυκεῖον. ἐγὼ δὲ ἐνενόουν μεταξὺ,
οἷοι ὄντες αὐτοὶ νέοις τε ὁμιλοῦσιν ἐπὶ σοφίᾳ καὶ ὑπὸ
τῶν πολλῶν θαυμάζονται μόνῃ τῇ πολιᾷ καὶ τῷ πώ-
γωνι διαφέροντες τῶν βρεφῶν, τὰ δ' ἄλλα καὶ αὐτῶν
ἐκείνων εὐαγωγότεροι πρὸς τὸ ψεῦδος. **24.** ὁ γοῦν Δει-
νόμαχος, εἰπέ μοι, ἔφη, ὦ Εὔκρατες, οἱ κύνες δὲ τῆς
θεοῦ πηλίκοι τὸ μέγεθος ἦσαν; ἐλεφάντων, ἦδ' ὅς,
ὑψηλότεροι τῶν Ἰνδικῶν, μέλανες καὶ αὐτοὶ καὶ λάσιοι
πιναρᾷ καὶ αὐχμώσῃ τῇ λάχνῃ. ἐγὼ μὲν οὖν ἰδὼν ἔστην
ἀναστρέψας ἅμα τὴν σφραγῖδα ἥν μοι ὁ Ἄραψ ἔδωκεν,
εἰς τὸ εἴσω τοῦ δακτύλου· ἡ Ἑκάτη δὲ πατάξασα τῷ
δρακοντείῳ ποδὶ τοὔδαφος ἐποίησε χάσμα παμμέγεθες,
ἡλίκον ταρτάρειον τὸ μέγεθος. εἶτα ᾤχετο μετ' ὀλίγον
ἁλλομένη ἐς αὐτό. ἐγὼ δὲ θαρσήσας ἐπέκυψα λαβόμενος
δένδρου τινὸς πλησίον πεφυκότος, ὡς μὴ σκοτοδινιάσας
ἐμπέσοιμι ἐπὶ κεφαλήν. εἶτα ἑώρων τὰ ἐν Ἅιδου ἅπαν-
τα, τὸν Πυριφλεγέθοντα τὴν λίμνην τὸν Κέρβερον τοὺς

περιέκειτο v et fortasse ΦΜ. tum schol. Voss: περιέκειτο] γρ. καθεῖτο. at hanc scripturam, quae e D. Marin. XIV, 3: καθειμένην τὰς κόμας vel e simili l. ducta est, hic quidem sententia respuit.

εἰλουμένους pro εἱλουμένους Jacobitius. πήχεως ego Quaestt. p. 355 pro πήχεος. πάσας Solanus. libri πᾶσιν.

23. μορμολυκεῖον pro μορμολύκειον Dindorfius. ὑπὸ τῶν πολλῶν] ita conjeci. libri ὑπὸ πολλῶν.

24. μέλανες καὶ αὐτοὶ ΦΜ. καὶ μέλανες αὐτοὶ a. καὶ μέλανες καὶ αὐτοὶ v. πιναρᾷ Φp et m pr (πινναρᾷ supra) M. πινναρᾷ v. δακτύλου] δακτυλίου Vd. δακτυλιδίου Φ inepte. δακτυλίου[ει] e c. 17 med. sumtum videtur. ταρτάρειον] ταρτάρεον Φ. ἐς αὐτὸ ΦΜa. ἐς τὸ αὐτὸ v. σκοτοδινιάσας] σκοτοδινήσας Φ. ἐπὶ κεφαλὴν] ἐπὶ τὴν κεφαλὴν (eraso τὴν) Φ. ἐπὶ τὴν κεφαλὴν

νεκρούς, ὥστε γνωρίζειν ἐνίους αὐτῶν· τὸν γοῦν πατέρα
εἶδον ἀκριβῶς αὐτὰ ἐκεῖνα ἔτι ἀμπεχόμενον, ἐν οἷς αὐ-
τὸν κατεθάψαμεν. τί δὲ ἔπραττον, ὁ Ἴων ἔφη, ὦ Εὔ-
κρατες, αἱ ψυχαί; τί δ' ἄλλο, ἦδ' ὅς, ἢ κατὰ φῦλα καὶ
φρήτρας μετὰ τῶν φίλων καὶ συγγενῶν διατρίβουσιν ἐπὶ
τοῦ ἀσφοδέλου κατακείμενοι; * ἀντιλεγέτωσαν νῦν ἔτι, 52
ἦδ' ὅς ὁ Ἴων, · οἱ ἀμφὶ τὸν Ἐπίκουρον τῷ ἱερῷ Πλά-
τωνι καὶ τῷ περὶ τῶν ψυχῶν λόγῳ. σὺ δὲ μὴ καὶ τὸν
Σωκράτην αὐτὸν καὶ τὸν Πλάτωνα εἶδες ἐν τοῖς νεκροῖς:
τὸν Σωκράτην ἔγωγε, ἦδ' ὅς, οὐδὲ τοῦτον σαφῶς, ἀλλ'
εἰκάζων, ὅτι φαλακρὸς καὶ προγάστωρ ἦν, τὸν Πλάτωνα
δὲ οὐκ ἐγνώρισα· χρὴ γάρ, οἶμαι, πρὸς φίλους ἄνδρας
τἀληθῆ λέγειν. ἅμα δ' οὖν ἔγωγε ἅπαντα ἱκανῶς ἑωρά-
κειν καὶ τὸ χάσμα συνέμυε καί τινες τῶν οἰκετῶν ἀνα-
ζητοῦντές με, καὶ Πυρρίας οὗτος ἐν αὐτοῖς, ἐπέστησαν
οὔπω τέλεον μεμυκότος τοῦ χάσματος· εἰπὲ Πυρρία, εἰ
ἀληθῆ λέγω. νὴ Δί', ἔφη ὁ Πυρρίας, καὶ ὑλακῆς γε
ἤκουσα διὰ τοῦ χάσματος καὶ πῦρ τι ὑπολάμπειν ἀπὸ
τῆς δᾳδός μοι ἐδόκει. κἀγὼ ἐγέλασα ἐπιμετρήσαντος τοῦ
μάρτυρος τὴν ὑλακὴν καὶ τὸ πῦρ. 25. ὁ Κλεόδημος
δέ, οὐ καινά, εἶπεν, οὐδὲ ἄλλοις ἀόρατα ταῦτα εἶδες,
ἐπεὶ καὶ αὐτὸς οὐ πρὸ πολλοῦ νοσήσας, τοιόνδε τι

m pr at supra ἐπὶ κεφαλὴν M. κατεθάψαμεν) sine idonea causa Bekker: καὶ ἐθάψαμεν. libri τί ἄλλο, sed τί δ' ἄλλο Quaestt. Praef. p. XXX et ad D. D. VI, 1 p. 14 jure correxi. φρήτρας] Il. β', 362. τοῦ ante ἀσφοδέλου om a. libri ἀντιλεγέτωσαν οὖν, sed recte Cobetus V. L. p. 269: ἀντιλεγέτωσαν νῦν, qui afferre poterat Aristoph. Avv. v. 570. ἀλλ' pro ἀλλὰ Bakker. ἅμα δ' οὖν Bekker. libri ἅμα γοῦν. ἀκριβῶς ΦMa et v. sed schol. Voss: ἀκριβῶς] γρ. ἱκανῶς, quod recepi. nam ἀκριβῶς manifesto fluxit e superioribus: τὸν γοῦν πατέρα εἶδον ἀκριβῶς. alteri et sententia unice favet et locus D. D. XX, 12 fin: ἱκανῶς γὰρ εἶδον. ἑώρακα ΦMa et v. sed schol. Voss: ἑώρακα] γρ. ἑωράκει, ubi Solanus ἑωράκειν restituit probante Bekkero. οὔπω] οὕτω d. καὶ ὑλακῆς γε Φ. καὶ ὑλακῆς δὲ v. ἐπιμετρήσαντος Ma et v. ἐπιμαρτυρήσαντος in textu et in m. γρ. ἐπιμετρήσαντος, ἤγουν προσθέντος Φ et quae ἐπιμαρτυρήσαντος in textu cum γρ. ἐπιμετρήσαντος X. eandem vim habet προσεπιμετροῦντες in Alex. c. 30 fin.

ἐθεασάμην· ἐπεσκόπει δέ με καὶ ἐθεράπευεν Ἀντίγονος οὗτος. ἑβδόμη μὲν ἦν ἡμέρα, ὁ δὲ πυρετὸς οἷος καύσων σφοδρότατος. ἅπαντες δέ με ἀπολιπόντες ἐπ' ἐρημίας ἐπικλεισάμενοι τὰς θύρας ἔξω περιέμενον· οὕτω γὰρ ἐκέλευσας, ὦ Ἀντίγονε, εἴ πως δυνηθείην εἰς ὕπνον
25 τρέπεσθαι. τότε οὖν ἐφίσταται νεανίας ἐγρηγορότι* πάγκαλος λευκὸν ἱμάτιον περιβεβλημένος, εἶτα ἀναστήσας ἄγει διά τινος χάσματος ἐς τὸν Ἅιδην, ὡς αὐτίκα ἐγνώρισα Τάνταλον ἰδὼν καὶ Τιτυὸν καὶ Σίσυφον. καὶ τὰ μὲν ἄλλα τί ἂν ὑμῖν λέγοιμι; ἐπεὶ δὲ κατὰ τὸ δικαστήριον ἐγενόμην, (παρῆν δὲ καὶ ὁ Αἰακὸς καὶ ὁ Χάρων καὶ αἱ Μοῖραι καὶ αἱ Ἐρινύες) ὁ μέν τις ὥσπερ βασιλεὺς (ὁ Πλούτων, μοι δοκεῖ) καθῆστο ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόματα, οὓς ἤδη ὑπερημέρους τῆς ζωῆς συνέβαινεν εἶναι, ὁ δὲ νεανίσκος ἐμὲ φέρων παρέστησεν αὐτῷ. ὁ δὲ Πλούτων ἠγανάκτησέ τε καὶ πρὸς τὸν ἀγαγόντα με, οὔπω πεπλήρωται, φησί, τὸ νῆμα αὐτῷ, ὥστε ἀπίτω· σὺ δὲ δὴ τὸν χαλκέα Δημύλον ἄγε· ὑπὲρ γὰρ τὸν ἄτρακτον ἤδη βιοῖ. κἀγὼ ἄσμενος ἀναδραμὼν αὐτὸς μὲν ἀπύρετος ἦν, ἀπήγγελλον δ' ἅπασιν, ὡς τεθνήξεται Δημύλος· ἐν γειτόνων δὲ ὑμῖν ᾤκει νο-

25. *καύσων σφοδρότατος*] ita correxi. *καῦσος σφοδρότατος θερμότερος* V. *καύσωνος σφοδρότερος* v et fortasse ΦM, sed *καύσωνος* nihil aliud est quam *καύσων* et superne *ος* i. e. *καῦσος* forma Hippocrati Galenoque solemnis. *ἐπικλεισάμενοι* ΦM et v. *ἐγκλεισάμενοι* VY. *οὕτω*] *οὕτως* Φ. *τρέπεσθαι* m pr et corrector *τραπέσθαι* M. *ἐφίσταται* (*ἐφίσταταί* Φ) ΦMa. *ἐφίσταταί μοι* v. *ἐγρηγορότι*] *ἐγρηγοροῦντι* Ma. *περιβεβλημένος*] *ἀναβεβλημένος* V. cave haec referas ad Ev. Marci XVI, 5. *ὡς*] Quaestt. L. p. 357. *Ἐρινύες*] libri *ἐριννύες*. *μοι δοκεῖ* om M. *ἐπιλεγόμενος — τὰ ὀνόματα*] haec affert Thomas p. 22, 4 R. *ἠγανάκτησέ τε καὶ* Bekker. *ἠγανάκτησετό τε, καὶ* Φ. *ἠγανάκτησε τότε καὶ* v. nempe initio ita variatum erat: *ἠγανάκτησε τε καὶ* h. e. *ἠγανάκτησέ τε καὶ* et supra *ἠγανακτήσατό τε καὶ* —. vide Somnium c. 4 fin., ubi est: *ἀγανακτησαμένης*. *ὑπὲρ γὰρ τὸν ἄτρακτον*] magis Lucianeum est: *ὑπὲρ τὸν ἄτρακτον γὰρ* —. vide vel supra c. 12 init., Timonem c. 6, D. Mort. X, 9 et quae in Quaestt. p. 100 collecta sunt. *αὐτὸς μὲν* ΦMa. *αὐτὸς μὲν ἤδη* v. *ἀπήγγελλον* ΦM. *ἀπήγγελον* a. *ἀπήγγειλον* v.

σῶν τι καὶ αὐτὸς, ὡς ἀπηγγέλλετο. καὶ μετὰ μικρὸν
ἠκούομεν οἰμωγῆς ὀδυρομένων ἐπ' αὐτῷ. 26. . . . . τί
θαυμαστὸν, εἶπεν ὁ Ἀντίγονος: ἐγὼ γὰρ οἶδά τινα μετὰ
εἰκοστὴν ἡμέραν ἢ ᾗ ἐτάφη ἀναστάντα, θεραπεύσας καὶ
πρὸ τοῦ θανάτου καὶ ἐπεὶ ἀνέστη τὸν ἄνθρωπον. καὶ
πῶς, ἦν δ' ἐγὼ, ἐν εἴκοσιν ἡμέραις οὔτε ἐμύδησε τὸ
σῶμα οὔτε ἄλλως ὑπὸ λιμοῦ διεφθάρη; εἰ μή τιν' Ἐπι-
μενίδην σύ γε ἐθεράπευσας. 27.* ἅμα ταῦτα λεγόντων 54
ἡμῶν ἐπεισῆλθον οἱ τοῦ Εὐκράτους υἱοὶ ἐκ τῆς παλαί-

δ' ἅπασιν] δὲ ἅπασιν Φa. ἀπηγγέλλετο] ἐπήγγελτο V. ἐπ' αὐτῷ] ἐπ' αὐτὸν Ma. hoc est, ut opinor: ὀδυρομένων αὐτὸν —.

26. τί θαυμαστόν;] haec cum superioribus non bene cohaerent. sed haud pauca excidisse ratus signa h. l. posui lacunae. nam quum supra (c. 22 init. — c. 25 fin.) de iis expositum esset, qui vivi res inferas quoquo modo vidissent, in iis, quae hic desunt, de iis sermo fuerat, qui e morte in vitam revocati essent. narrarat philosophus aliquem post diem tertium quartumve revixisse (ἀναστῆναι) mirantique Tychiadi, quomodo id fieri potuerit, continuo respondetur his Antigoni verbis, quae servata sunt: τί θαυμαστὸν —; nam in eis quoque quae exciderunt numerus dierum ita finitus erat, uti c. 26 aliquis die post sepulturam vicesimo in vitam rediisse et c. 27 Demaeneta die post mortem septimo paene revixisse dicitur. ita Lazarus (Ev. Johann. XI, 17 et v. 39) die post sepulturam quinto vitae redditus est. verum in iis quae exciderunt homo historiae sacrae ignarus vel ea afferre poterat, quae ab Philostrato in Vit. Apoll. IV, 45 init. (p. 186) de Apollonio mago sponsam mortuam resuscitante dicuntur, vel quae de Alexandro vate ipse tradidit in Alex. c. 24: ὡς — ἐνίους ἤδη καὶ ἀποθανόντας ἀναστήσειε vel similia. sed jam multo ante revixisse post mortem sive per palingenesian ut Pythagoras (de quo noster in Gallo c. 18 et Lobeckius in Aglaoph. p. 797 sqq.) et Hermotimus (Muscae Encom. c. 7) sive alio modo ut Aesopus (vide Platonem c. ap. schol. ad Arist. Avv. v. 471) nonnulli vulgo crediti sunt. ᾗ v et V. ἧς ΦMYa. ἢ ᾗ Γ probante Bastio Append. Ep. Cr. Praef. p. VII. ἧς quoque atticum esse Schaefer ad Bos. Ellips. p. 553 sq. et Jacobsius ad Achill. Tat. p. 628 et p. 779 docuerunt. ἐπεὶ] ἀφ' οὗ M ut videtur. ὑπὸ λιμοῦ] ὑπὸ λιμοῦ γε Φ. τιν' Ἐπιμενίδην] libri τινά γε Ἐπιμενίδην, sed γε in Quaestt. Praef. p. XXX delevi. in tanta vicinia γὲ ter male additum est, modo in Florentino ὑπὸ λιμοῦ γε et in omnibus libris tum hic τινά γε tum c. 27: τό γε πένθος. ἐθεράπευσας VY. ἐθεράπευες v et (?) ΦM.

στρας, ὁ μὲν ἤδη ἐξ ἐφήβων, ὁ δὲ ἕτερος ἀμφὶ τὰ πεντεκαίδεκα ἔτη, καὶ ἀσπασάμενοι ἡμᾶς ἐκαθέζοντο ἐπὶ τῆς κλίνης παρὰ τῷ πατρί, ἐμοὶ δὲ εἰσεκομίσθη θρόνος. καὶ ὁ Εὐκράτης ὥσπερ ἀναμνησθεὶς πρὸς τὴν ὄψιν τῶν υἱέων, οὕτως ὀναίμην, ἔφη, τούτων, (ἐπιβαλὼν αὐτοῖς τὴν χεῖρα) ἀληθῆ, ὦ Τυχιάδη, πρός σε ἐρῶ. τὴν μακαρῖτίν μου γυναῖκα τὴν τούτων μητέρα πάντες ἴσασιν ὅπως ἠγάπησα, ἐδήλωσα δὲ οἷς περὶ αὐτὴν ἔπραξα οὐ ζῶσαν μόνον, ἀλλὰ καὶ ἐπεὶ ἀπέθανε, τόν τε κόσμον ἅπαντα συγκατακαύσας καὶ τὴν ἐσθῆτα, ᾗ ζῶσα ἔχαιρεν. ἑβδόμῃ δὲ μετὰ τὴν τελευτὴν ἡμέρᾳ ἐγὼ μὲν ἐνταῦθα ἐπὶ τῆς κλίνης ὥσπερ νῦν ἐκείμην παραμυθούμενος τὸ πένθος· ἀνεγίγνωσκον γὰρ τὸ περὶ ψυχῆς τοῦ Πλάτωνος βιβλίον ἐφ' ἡσυχίας· ἐπεισέρχεται δὲ μεταξὺ ἡ Δημαινέτη αὐτὴ ἐκείνη καὶ καθέζεται πλησίον οὕπερ νῦν Εὐκρατίδης οὑτοσί, δείξας τὸν νεώτερον τῶν υἱέων· ὁ δὲ αὐτίκα ἔφριξε μάλα παιδικῶς καὶ πάλαι ἤδη ὠχρὸς ἦν πρὸς τὴν διήγησιν. ἐγὼ δέ, ἦδ' ὃς ὁ Εὐκράτης, ὡς εἶδον, περιπλακεὶς αὐτῇ ἐδάκρυον ἀνακωκύσας·
55 * ἡ δὲ οὐκ εἴα βοᾶν, ἀλλ' ᾐτιᾶτό με, ὅτι τὰ ἄλλα πάντα χαρισάμενος αὐτῇ θάτερον τοῖν σανδάλοιν χρυσοῖν

27. ὁ μὲν ἤδη] ὁ μὲν δὴ Φ. ἐπιβαλὼν] ἐπιθεὶς suprascriptum in M. cave haec revoces ad locum vere divinum Ev. Matth. XIX, 13 et v. 15. αὐτοῖς ΦMa. αὐτοῖν v, quod falsum esse in Quaestt. p. 358 monui. ἀληθῆ Φa. ὡς ἀληθῆ v, quod non est atticum. vide vel Arist. Thesmoph. v. 469 sq. μακαρῖτιν pro μακαρίτιν Lehmannus. ἀλλὰ καὶ ἐπεὶ] ita transposui. libri ἀλλ' ἐπεὶ καί. vide vel supra c. 26: καὶ ἐπεὶ ἀνέστη. ἐγὼ μὲν] οὕτω μὲν m pr et corrector ἐγω μὲν M. τὸ πένθος Jacobitius. libri τό γε πένθος, quod in Quaestt. p. 358 explosum erat. vide supra ad c. 26. ἀνεγίγνωσκον] ἀνεγίνωσκον Φ. καθίζεται M. καθίζει V. καθίσει Y. καθέζεται v et fortasse Φ.

οὕπερ νῦν] ita correxi. libri ὥσπερ νῦν, quod vitium natum est e verbis paullo superioribus his: ὥσπερ νῦν ἐκείμην. nam (ut est c. 27 init.) in lecto apud patrem ambo tum filii adsidebant, etiam Mnason, ita ut h. l. οὕπερ dici oporteat. τὰ ἄλλα] τὰ πολλὰ V. σανδάλοιν] Cobetus V. L. p. 269 σανδαλίοιν conjecit. at utraque forma subsequitur et τὸ μέντοι σανδάλιον et vero σανδάλῳ γε χρυσῷ. οὐ συγκατακαύσαιμι Cobetus V. L. p. 269.

ὄντοιν οὐ συγκατακαύσαιμι, εἶναι δὲ αὐτὸ ἔφασκε παραπεσὸν ὑπὸ τῇ κιβωτῷ· καὶ διὰ τοῦτο ἡμεῖς οὐχ εὑρόντες θάτερον μόνον ἐκαύσαμεν. ἔτι δὲ ἡμῶν διαλεγομένων κατάρατόν τι κυνίδιον ὑπὸ τῇ κλίνῃ ὂν Μελιταῖον ὑλάκτησεν, ἡ δὲ ἠφανίσθη πρὸς τὴν ὑλακήν· τὸ μέντοι σανδάλιον ηὑρέθη ὑπὸ τῇ κιβωτῷ καὶ κατεκαύθη ὕστερον. 28. ἔτι ἀπιστεῖν τούτοις, ὦ Τυχιάδη, ἄξιον ἐναργέσιν οὖσι καὶ κατὰ τὴν ἡμέραν ἑκάστην φαινομένοις; μὰ Δί', ἦν δ' ἐγώ· ἐπεὶ σανδάλῳ γε χρυσῷ ἐς τὰς πυγὰς ὡς τὰ παιδία παίεσθαι ἄξιοι ἂν εἶεν οἱ ἀπιστοῦντες καὶ οὕτως ἀναισχυντοῦντες πρὸς τὴν ἀλήθειαν. 29. ἐπὶ τούτοις ὁ Πυθαγορικὸς Ἀρίγνωτος εἰσῆλθεν, ὁ κομήτης, ὁ σεμνὸς ἀπὸ τοῦ προσώπου, οἶσθα τὸν ἀοίδιμον ἐπὶ τῇ σοφίᾳ, τὸν ἱερὸν ἐπονομαζόμενον. κἀγὼ μὲν ὡς εἶδον αὐτόν, ἀνέπνευσα, τοῦτ' ἐκεῖνο ἥκειν μοι νομίσας πέλεκύν τινα κατὰ τῶν ψευσμάτων· ἐπιστομιεῖ γὰρ αὐτούς, ἔλεγον, ὁ σοφὸς ἀνὴρ οὕτω τεράστια διεξιόντας, καὶ τὸ τοῦ λόγου,
θεὸν ἀπὸ μηχανῆς ἐπεισκυκληθῆναί μοι τοῦτον * ᾤμην 56
ὑπὸ τῆς τύχης. ὁ δὲ ἐπεὶ ἐκαθέζετο ὑπεκστάντος αὐτῷ τοῦ Κλεοδήμου, πρῶτα μὲν περὶ τῆς νόσου ἤρετο, καὶ ὡς ῥᾷον ἤδη ἔχειν ἤκουσε παρὰ τοῦ Εὐκράτους, τί δέ,

---

libri οὐ κατακαύσαιμι. vide supra c. 27 med. συγκατακαύσας, De Luctu c. 14: συγκατέφλεξαν ἢ συγκατώρυξαν et Nigrin. c. 30. ηὑρέθη Ma. εὑρέθη v et fortasse Φ.

28. ὡς τὰ παιδία ΦΜ. ὥσπερ τὰ παιδία v. καὶ οὕτως ἀναισχυντοῦντες om Φ. pro ἀναισχυντοῦντες a: ἀνασχυντοῦντες.

29. ἐπεισκυκληθῆναι V (confirmata emendatione Kusteri ad Arist. Thesmoph. v. 774). ἐπεισ . . . κληθῆναί (abrasa una vel altera litera) Φ. ἐπεισκληθῆναι v. de hac theatri machina ἐκκυκλεῖν et εἰσκυκλεῖν proprie dicta esse Kuster ad Thesmoph. v. 102 egoque (De deo ex machina p. 12) demonstravimus et ibidem p. 6 scholium ad h. l. tractavi, quod etiam in Parisino Bachmanni Anecd. II p. 336 exstat, quum docte illud scriptum, tum nonnulla complexum, quae apud alios frustra quaesiveris. nunc id unum addo, machinam divinam ad ipsas περιάκτους referri necesse esse, quum Vitruvius De Arch. V, 6, 8 ed. Schn. περιάκτους machinas versatiles trigonos tum quoque versari dixerit, ubi dii adventuri sint. ὑπὸ ego in Quaestt. p. 359. libri ἀπὸ —. ὑπεκστάντος] ὑποστάντος Φ. πρὸς αὐτοὺς ego in Quaestt. p. 359. τὸ

ἔφη, πρὸς αὐτοὺς ἐφιλοσοφεῖτε; μεταξὺ γὰρ εἰσιὼν ἐπήκουσα, καί μοι δοκεῖτε εἰς καλὸν διαθήσεσθαι τὴν διατριβήν. τί δ' ἄλλο, εἶπεν ὁ Εὐκράτης, ἢ τουτονὶ τὸν ἀδαμάντινον πείθομεν (δείξας ἐμὲ) ἡγεῖσθαι δαίμονάς τινας εἶναι καὶ φαντάσματα καὶ νεκρῶν ψυχὰς περιπολεῖν ὑπὲρ γῆς καὶ φαίνεσθαι οἷς ἂν ἐθέλωσιν. ἐγὼ μὲν οὖν ἠρυθρίασα καὶ κάτω ἔνευσα αἰδεσθεὶς τὸν Ἀρίγνωτον. ὁ δέ, ὅρα, ἔφη, ὦ Εὔκρατες, μὴ τοῦτό φησι Τυχιάδης, τὰς τῶν βιαίως ἀποθανόντων ψυχὰς μόνας περινοστεῖν, οἷον εἴ τις ἀπήγξατο ἢ ἀπετμήθη τὴν κεφαλὴν ἢ ἀνεσκολοπίσθη ἢ ἄλλῳ γέ τῳ τρόπῳ τοιούτῳ ἀπῆλθεν ἐκ τοῦ βίου, τὰς δὲ τῶν κατὰ μοῖραν ἀποθανόντων οὐκέτι· ἢν γὰρ τοῦτο λέγῃ, οὐ πάνυ ἀπόβλητα φήσει. μὰ Δί', ἦδ' ὃς ὁ Δεινόμαχος, ἀλλ' οὐδὲ ὅλως εἶναι τὰ τοιαῦτα οὐδὲ συνεστῶτα ὁρᾶσθαι οἴεται. 30. πῶς λέγεις, ἦδ' ὃς ὁ Ἀρίγνωτος, δριμὺ ἀπιδὼν εἰς ἐμέ, οὐδέν σοι τούτων γίγνεσθαι δοκεῖ, καὶ ταῦτα πάντων, ὡς εἰπεῖν, ὁρώντων; ἀπολελόγησαι, ἦν δ' ἐγώ, ὑπὲρ ἐμοῦ, εἰ μὴ πιστεύω, διότι μηδὲ ὁρῶ μόνος τῶν ἄλλων· εἰ δὲ ἑώρων, καὶ ἐπίστευον ἂν δηλαδὴ ὥσπερ ὑμεῖς. ἀλλά, ἦδ' ὅς, ἤν ποτε ἐς Κόρινθον ἔλθῃς, ἐροῦ, ἔνθα ἐστὶν ἡ Εὐβατίδου οἰκία, καὶ ἐπειδάν σοι δειχθῇ παρὰ τὸ Κράνειον,
57 παρελθὼν εἰς αὐτὴν λέγε * πρὸς τὸν θυρωρὸν Τίβιον, ὡς ἐθέλοις ἰδεῖν ὅθεν τὸν δαίμονα ὁ Πυθαγορικὸς Ἀρίγνωτος ἀνορύξας ἀπήλασε, καὶ πρὸς τὸ λοιπὸν οἰκεῖσθαι

πρὸς αὐτοὺς Φ. πρὸς αὑτοὺς MYa. πρὸς ἀλλήλους v. ἐφιλοσοφεῖτε ΦMa. φιλοσοφεῖτε v. διαθήσεσθαι Jacobitius et V. L. p. 80 Cobetus. libri διατεθήσεσθαι. οἷς ἂν] ἂν m pr et corrector οἷς ἂν M. ἂν om g. ὅρα] ἆρα Φa. ψυχὰς μόνας Φ. μόνας ψυχὰς v. εἴ τις] ἤ τις Φ. ἢ ἄλλῳ] ἢ ἄλλως Φ. τοιούτῳ om M.

30. εἰς] ἐς Φ. ὡς εἰπεῖν] Lucianus utrumque habet et hoc (ut in Somnio c. 10 init.) et quod magis atticum est, ὡς ἔπος εἰπεῖν (ut in Hermotim. c. 71 init.). ἀπολελόγησαι] ita correxi. ἀπολογήσομαι U. ἀπολελόγησθε ἢ ἀπολογήσομαι marg. V (ut videtur). ἀπολογῇ YΦMa. ἀπολελόγησθε (— αι g) v. ἐς] εἰς Φ. ἐροῦ] ἔρου VY. Κράνειον] κρανίον Φ. Κράνιον n. εἰς αὐτὴν] ita conjeci. libri ἐς ταύτην. ἀνορύξας UYΦMa m o. ἀνοίξας bc et aliae edd. ἐποίησεν Φ. ἐποίησε v.

τὴν οἰκίαν ἐποίησεν. **31.** τί δὲ τοῦτο ἦν, ὦ Ἀρίγνωτε; ἤρετο ὁ Εὐκράτης. ἀοίκητος ἦν, ἦδ' ὅς, ἐς πολλοῦ ὑπὸ δειμάτων, εἰ δέ τις οἰκήσειεν, εὐθὺς ἐκπλαγεὶς ἔφευγεν ἐκδιωχθεὶς ὑπό τινος φοβεροῦ καὶ ταραχώδους φάσματος. συνέπιπτεν οὖν ἤδη καὶ ἡ στέγη κατέρρει, καὶ ὅλως οὐδεὶς ἦν ὁ θαρρήσων παρελθεῖν εἰς αὐτήν. ἐγὼ δὲ ἐπεὶ ταῦτα ἤκουσα, τὰς βίβλους λαβὼν, (εἰσὶ δέ μοι Αἰγύπτιαι μάλα πολλαὶ περὶ τῶν τοιούτων) ἧκον ἐς τὴν οἰκίαν περὶ πρῶτον ὕπνον ἀποτρέποντος τοῦ ξένου καὶ μόνον οὐκ ἐπιλαμβανομένου, ἐπεὶ ἔμαθεν οἷ βαδίζοιμι, εἰς προῦπτον κακὸν, ὡς ᾤετο. ἐγὼ δὲ λύχνον λαβὼν μόνος εἰσέρχομαι, καὶ ἐν τῷ μεγίστῳ οἰκήματι καταθεὶς τὸ φῶς ἀνεγίγνωσκον ἡσυχῇ χαμαὶ καθεζόμενος. ἐφίσταται δὲ ὁ δαίμων ἐπί τινα τῶν πολλῶν ἥκειν νομίζων καὶ δεδίξεσθαι κἀμὲ ἐλπίζων ὥσπερ τοὺς ἄλλους, αὐχμηρὸς καὶ κομήτης καὶ μελάντερος τοῦ ζόφου. καὶ ὁ μὲν ἐπιστὰς ἐπειρᾶτό μου πανταχόθεν προσβάλλων, εἴ ποθεν

---

31. Arignotus hic certo mentitur, Athenodorus autem philosophus (Stoicus alter eorum, qui sunt apud Strabonem XIV p. 674), a quo eadem omnia multo ante Athenis patrata esse C. Plinius Epist. VII, 27 narrat, fortassis ut laureolam in mustacco quaereret, ipse etiam mentitus est. certe spectrum suum Athenis conspectum Athenodorus mutuari ab Philemone potuit, cujus comoediam „Φάσμα“ Plautus in Mostellaria latinam fecit, ubi vide v. 482 et ipsius verba idoli ibid. v. 502. illud affirmare licet, aut mendacium Athenodori aut fraudem subesse. videtur autem ossa cadaveris ipse sub terra abdidisse, quibus mox publice inventis animos religione liberaret. erat enim illa quum spatiosa domus, tum nummo addicebatur teste Plinio § 5 et § 7: quam Athenodorus, ut inopiam argentariam levaret, aut ipse emisse videtur, aut si (ut ait Plinius § 7) conduxit tantum, certe cum emtore collusit. nam profecto rem facere emtor potuit atque domum istam emtam die coeca vendere die oculata. ἦν ὁ θαρρήσων] ἦν θαρρήσων Φ. εἰς αὐτήν] ἐς αὐτὴν Φ. ἧκον] ἧκων (ον suprascr.) Φ. μόνον οὐκ ΥΦd. μονονοὺ Ma et v. ἀνεγίγνωσκον] ἀνεγίνωσκον Φ. ἐπί τινα] ἐπί τινος m pr et supra ἐπὶ τινὰ M. δεδίξεσθαι] δεδίξεται (sic ex correctione) Φ. καὶ ante κομήτης om a, habet Φ ut vulgo, sed καὶ ante μελάντερος om Φ; unum καὶ (prius opinor) om etiam M. ἐπειρᾶτό μου] μου om Φ. προσβάλλων

κρατήσειεν, ἄρτι μὲν κύων ἄρτι δὲ ταῦρος γιγνόμενος ἢ λέων. ἐγὼ δὲ προχειρισάμενος τὴν φρικωδεστάτην ἐπίρρησιν αἰγυπτιάζων τῇ φωνῇ συνήλασα κατάδων αὐτὸν εἴς τινα γωνίαν σκοτεινὴν τοῦ οἰκήματος. ἰδὼν δὲ αὐτὸν οὗ κατέδυ, τὸ λοιπὸν ἀνεπαυόμην. ἕωθεν δὲ πάντων ἀπεγνωκότων καὶ νεκρὸν εὑρήσειν κἀμὲ οἰομένων
58 καθάπερ * τοὺς ἄλλους προελθὼν ἀπροσδόκητος ἅπασι πρόσειμι τῷ Εὐβατίδῃ εὐαγγελιζόμενος, ὅτι καθαρὰν αὐτῷ καὶ ἀδείμαντον ἤδη ἔξεστι τὴν οἰκίαν οἰκεῖν. παραλαβὼν οὖν αὐτόν τε καὶ τῶν ἄλλων πολλοὺς, (εἵποντο γὰρ τοῦ παραδόξου ἕνεκα) ἐκέλευον ἀγαγὼν ἐπὶ τὸν τόπον, οὗ καταδεδυκότα τὸν δαίμονα ἑωράκειν, σκάπτειν λαβόντας δικέλλας καὶ σκαφεῖα, καὶ ἐπειδὴ ἐποίησαν, εὑρέθη ὅσον ἐπ' ὀργυιὰν κατορωρυγμένος τις νεκρὸς ἕωλος μόνα τὰ ὀστᾶ κατὰ σχῆμα συγκείμενος. ἐκεῖνον μὲν οὖν ἐθάψαμεν ἀνορύξαντες, ἡ οἰκία δὲ τὸ ἀπ' ἐκείνου ἐπαύσατο ἐνοχλουμένη ὑπὸ τῶν φασμάτων.
32. ὡς δὲ ταῦτα εἶπεν ὁ Ἀρίγνωτος, ἀνὴρ δαιμόνιος

Φ et v. προσβλέπων m pr et correctum προσβάλλων M. κρατήσειεν Φ. κρατήσειε v. ἄρτι μὲν Bekker. libri (Φ diserte) καὶ ἄρτι μὲν —, et ita servare καὶ licet, si quis supplent καὶ [κατεφόβει sive ἐδειμάτου] ἄρτι μὲν —. προχειρισάμενος] προχειριζόμενος Φ. σκοτεινὴν τοῦ] ita et ego dudum et Halmius conjecimus. libri σκοτεινοῦ. vide verba paullo superiora: ἐν τῷ μεγίστῳ οἰκήματι καταθεὶς τὸ φῶς. adeo et articulo opus est neque illud conclave totum, sed angulus fuit tenebrosus. οὗ κατέδυ] ita correxi. libri οἱ κατέδυ. recte vero libri omnes paullo post: τὸν τόπον, οὗ καταδεδυκότα τ. δ. ἑ. κἀμὲ οἰομένων] ita correxi. libri με οἰομένων. ita paullo ante exstat: κἀμὲ ἐλπίζων ὥσπερ τοὺς ἄλλους. πρόσειμι ΦMa et v. προσέρχομαι VY. εὐαγγελιζόμενος ὅτι Cobetus V. L. p. 192. εὐαγγελιζόμενος αὐτῷ ὅτι Φ et v. εὖ ἀγγέλλων, ὅτι m pr et correctum εὐαγγελιζόμενος αὐτῷ ὅτι M. manus prima quae hoc αὐτῷ non agnoscit, fortasse voluit: εὐαγγελῶν. καθαρὰν αὐτῷ vulgo recte. καθαρὰν αὐτοῦ ΦMa. ἔξεστι post Gesnerum in versione et Halmium Cobetus V. L. p. 192. libri ἕξει futuro plane inepto. παραλαβὼν οὖν Φ. καὶ παραλαβὼν v. ὅσον ἐπ' Φ. ὡς ἐπ' v. vide Verr. Hist. II, 2 et Navigium c. 44. τοαπεκείνου Φ. τοαπ' ἐκείνου bc.

32. δαιμόνιος] „ludit in duplici significatu." Reitzius. οὐ πέφηνας] ita conjeci. libri πέφηνας. non bene Halmius πε-

τὴν σοφίαν καὶ ἅπασιν αἰδέσιμος, οὐδεὶς ἦν ἔτι τῶν παρόντων ὃς οὐχὶ κατεγίγνωσκέ μου πολλὴν τὴν ἄνοιαν τοῖς τοιούτοις ἀπιστοῦντος, καὶ ταῦτα Ἀριγνώτου λέγοντος. ἐγὼ δὲ ὅμως οὐδὲν τρέσας οὔτε τὴν κόμην οὔτε τὴν δόξαν τὴν περὶ αὐτοῦ, τί τοῦτ', ἔφην, ὦ Ἀρίγνωτε, καὶ σὺ τοιοῦτος ἦσθα ἡ μόνη ἐλπὶς τῆς ἀληθείας, καπνοῦ μεστὸς καὶ ἰνδαλμάτων; τὸ γοῦν τοῦ λόγου ἐκεῖνο, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς, σὺ πέφηνας. σὺ δὲ, ἦ δ' ὃς ὁ Ἀρίγνωτος, εἰ μήτε ἐμοὶ πιστεύεις λέγοντι μήτε Δεινομάχῳ ἢ Κλεοδήμῳ τουτωῒ μήτε αὐτῷ Εὐκράτει, φέρε * εἰπὲ 59
τίνα περὶ τῶν τοιούτων ἀξιοπιστότερον ἡγῇ τἀναντία ἡμῖν λέγοντα; νὴ Δί', ἦν δ' ἐγὼ, μάλα θαυμαστὸν ἄνδρα τὸν Ἀβδηρόθεν ἐκεῖνον Δημόκριτον, ὃς οὕτως ἄρα ἐπέπειστο μηδὲν οἷόν τε εἶναι συστῆναι τοιοῦτον, ὥστε, ἐπειδὴ καθείρξας ἑαυτὸν ἐς μνῆμα ἔξω πυλῶν ἐνταῦθα διετέλει γράφων καὶ συντάττων καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καί τινες τῶν νεανίσκων ἐρεσχηλεῖν αὐτὸν βουλόμενοι καὶ δειματοῦν στειλάμενοι νεκρικῶς ἐσθῆτι μελαίνῃ καὶ προσωπείοις ἔς τινα κρανία μεμιμημένοις περιστάντες αὐτὸν περιεχόρευον ὑπὸ πυκνῇ τῇ βάσει ἀναπηδῶντες, ὁ δὲ οὔτε ἔδεισε τὴν προσποίησιν αὐτῶν οὔτε ὅλως ἀνέβλεψε πρὸς αὐτοὺς, ἀλλὰ μεταξὺ γράφων, παύσασθε, ἔφη, παίζοντες· οὕτω βεβαίως ἐπίστευε μηδὲν εἶναι τὰς ψυχὰς ἔτι, ἔξω γενομένας τῶν σωμάτων. τοῦτο φῄς, ἦ δ' ὃς ὁ Εὐκράτης, ἀνόητόν τινα ἄνδρα καὶ τὸν Δημόκριτον γενέσθαι, εἴ γε οὕτως ἐγίγνωσκεν.

φήνασι scribi voluit. vide Arist. Vesp. v. 603: κἀναφανήσει | πρωκτὸς λουτροῦ περιγιγνόμενος. adde meam Epist. Cr. p. XIX. πιστεύεις λέγοντι] λέγοντι om Φ. τουτωῒ ΦΜ. τούτῳ v. μάλα] μάλιστα V. ὥστε cum Solano ΦΜ. ὥσγε v. καθείρξας] κατείρξας Φ. ἐρεσχηλεῖν Jacobitius. libri (Φ diserte) ἐρεσχελεῖν. αὐτὸν βουλόμενοι Φ. βουλόμενοι αὐτὸν v. ἔς τινα κρανία] ita conjeci. libri ἐς τὰ κρανία. vide Prometheum I c. 3 init: τὸ μὴ πρός τι ἄλλο ἀρχέτυπον μεμιμημένον et item passive dictum Arist. Lysistr. v. 159. h. l. Bekker ἐς delere maluit scribens προσωπείοις τὰ κρανία μεμιμ., quod ferri vix potest. αὐτῶν] αὐτὸν c d. ἀνέβλεψε ΥΦΜa. ἐνέβλεψε v. ἐπίστευε] ἐπίστευεν Φ.

33. ἐγὼ δὲ ὑμῖν καὶ ἄλλο διηγήσομαι αὐτὸς παθών, οὐ παρ' ἄλλου ἀκούσας· τάχα γὰρ ἂν καὶ σύ, ὦ Τυχιάδη, ἀκούων προσβιβασθείης πρὸς τὴν ἀλήθειαν τοῦ διηγήματος. ὁπότε γὰρ ἐν Αἰγύπτῳ διῆγον ἔτι νέος ὤν, ὑπὸ τοῦ πατρὸς ἐπὶ παιδείας προφάσει ἀποσταλείς, ἐπεθύμησα ἐς Κοπτὸν * ἀναπλεύσας, ἐκεῖθεν ἐπὶ τὸν Μέμνονα ἐλθὼν ἀκοῦσαι τὸ θαυμαστὸν [ἐκεῖνο] ἠχοῦντα πρὸς ἀνίσχοντα τὸν ἥλιον. ἐκείνου μὲν οὖν ἤκουσα οὐ κατὰ τὸ κοινὸν τοῖς πολλοῖς ἄσημόν τινα φωνήν, ἀλλά μοι καὶ ἔχρησεν ὁ Μέμνων αὐτὸς ἀνοίξας τὸ στόμα ἐν ἔπεσιν ἑπτά, καὶ εἴ γε μὴ περιττὸν ἦν, αὐτὰ ἂν ὑμῖν εἶπον τὰ ἔπη. 34. κατὰ δὲ τὸν ἀνάπλουν ἔτυχεν ἡμῖν συμπλέων Μεμφίτης ἀνὴρ τῶν ἱερογραμματέων, θαυμάσιος τὴν σοφίαν καὶ τὴν παιδείαν πᾶσαν εἰδὼς τὴν Αἰγυπτίων. ἐλέγετο δὲ τρία καὶ εἴκοσιν ἔτη ἐν τοῖς ἀδύτοις ὑπόγειος ᾠκηκέναι μαγεύειν παιδευόμενος ὑπὸ τῆς Ἴσιδος. Παγκράτην λέγεις, ἔφη ὁ Ἀρίγνωτος, ἐμὸν διδάσκαλον, ἄνδρα ἱερὸν ἐξυρημένον ἀεί, [ὀθόνας ἐνημμένον,] οὐ καθαρῶς ἑλληνίζοντα, ἐπιμήκη, σιμόν, πρό-

---

33. τάχα Ma et v. ταχὺ UVYΦdp. προσβιβασθείης] προβιβασθείης Ma. ὁπότε] ὅτε V. τὸ θαυμαστὸν ἠχοῦντα conjicio. libri τὸ θαυμαστὸν ἐκεῖνο ἠχοῦντα. at ἐκεῖνο sive e superiore ἐκεῖθεν sive ex inferiore ἐκείνου natum puto. vide Theocritum III, 3. ἀνοίξας τὸ στόμα] non ornatus causa additum esse ut saepe in N. F. (v. c. Matth. V, 2), sed eo spectare videtur, quod Memnonis statua ore fuit semiaperto (Philostrat. Vit. Apoll. VI, 4 p. 233: τοῦ στόματος ὡς φθεγξομένου). περιττὸν friget, Jacobsi autem ἀπόρρητον (Exercitt. crit. T. II p. 135) ad rem aptissimum est. quanquam hoc ita potius attice dicitur: καὶ εἴ γε μή τι τῶν ἀπορρήτων ἦν. vide vel Navigium c. 11.

34. ἱερογραμματέων et ego dudum et Dindorfius in ed. Paris. ἱερωγραμματέων a. ἱερῶν γραμμάτων V et m pr M. ἱερῶν γραμματέων v et correctus M et fortasse Φ. Αἰγυπτίων Solanus. libri Αἰγύπτιον. ἐν τοῖς ἀδύτοις ὑπόγειος] Cobetus V. L. p. 192 ἐν τοῖς ὑπογείοις temere conjecit, quum Solanus librorum scripturam l. simillimo Galli c. 18 init. recte defendisset. λέγεις ἔφη] ita transposui. libri ἔφη λέγεις. ἄνδρα ἱερὸν Φ. ἱερὸν ἄνδρα v. ἀεὶ quod vulgo deest accessit ex ΦMa, quorum ΦM post ἀεὶ interpungunt. ἐν ὀθονίοις νοήμονα vulgo, νοήμονα (omissis ἐν ὀθονίοις) ΦMa. ego ὀθόνας ἐνημμένον dubitanter

χειλον, ὑπόλεπτον τὰ σκέλη. αὐτὸν, ἢ δ' ὅς, ἐκεῖνον
τὸν Παγκράτην· καὶ τὰ μὲν πρῶτα ἠγνόουν ὅστις ἦν,
ἐπεὶ δὲ ἑώρων αὐτὸν, εἴ ποτε ὁρμίσαιμεν τὸ πλοῖον,
ἄλλα τε πολλὰ τεράστια ἐργαζόμενον, καὶ δὴ καὶ
ἐπὶ κροκοδείλων ὀχούμενον καὶ συννέοντα τοῖς * θη- 61
ρίοις, τὰ δὲ ὑποπτήσσοντα καὶ σαίνοντα ταῖς οὐ-
ραῖς, ἔγνων ἱερόν τινα ἄνθρωπον ὄντα, καὶ κατὰ μι-
κρὸν φιλοφρονούμενος ἔλαθον ἑταῖρος αὐτῷ καὶ συνήθης
γενόμενος· ὥστε πάντων ἐκοινώνει μοι τῶν ἀπορρήτων.
καὶ τέλος πείθει με τοὺς μὲν οἰκέτας ἅπαντας ἐν τῇ
Μέμφιδι καταλιπεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ'
αὐτοῦ, μὴ γὰρ ἀπορήσειν ἡμᾶς τῶν διακονησομένων.
καὶ τὸ μετὰ τοῦτο οὕτω διήγομεν. 35. ἐπειδὴ ἔλθοιμεν
εἴς τι καταγώγιον, λαβὼν ἂν ὁ ἀνὴρ τὸν μοχλὸν τῆς
θύρας ἢ τὸ κόρηθρον ἢ καὶ τὸ ὕπερον, περιβαλὼν ἱμα-
τίοις ἐπειπών τινα ἐπῳδὴν ἐποίει βαδίζειν τοῖς ἄλλοις
ἅπασιν ἄνθρωπον εἶναι δοκοῦντα· τὸ δὲ ἀπελθὸν ὕδωρ
τε ἀπήντλει καὶ ὠψώνει καὶ ἐσκεύαζε καὶ πάντα δεξιῶς
ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν· εἶτ' ἐπειδὴ ἅλις ἔχοι τῆς

---

scripsi. possis tamen etiam: ὀθονίοις ἠοθημένον collato Philostrato Imagg. X p. 880: αἰδὶ μὲν ὀθόναις ἤοθηνται. vulgatum quidem νοήμονα aperte mendosum est, ceterum hic, si usquam, codices exspecto. καθαρῶς v, sed οὐ καθαρῶς ΦMa, quod in Quaestt. p. 362 probavi, ubi Timonem c. 52 et Rhet. Praec. c. 24 addere poteram. πρόχειλον] πρόχειρον Φ. προχειλῆ Ma. ὑπόλεπτον τὰ] ὑπόλεπτα τά Φ. ὁρμίσαιμεν] ὁρμήσαιμεν Φ. τε πολλά om Φ. συννέοντα] ξυννέοντα Φ. ἄνθρωπον ὄντα] ἄνθρωπον εἶναι Φ. καταμικρὸν et mox τομετατοῦτο (τὸ μετατοῦτο a) Φa. οἰκέτας ἅπαντας] οἰκέτας πάντας Φ. πάντας mendacii exaggerandi causa additur neque deleri hic quidem potest, etsi abest ab l. gemino Alexand. c. 44.

35. ἐπειδὴ ἔλθοιμεν ita conjeci. ἐπειδὰν ἤλθομεν V. ἐπειδὰν δ' ἤλθομεν Φ. ἐπειδὴ δὲ ἔλθοιμεν v. εἴς τι] εἰς τό Φ. καταγώγιον] κατάλυσιν V. ἂν om Φ. ὁ ἀνὴρ om M in textu, habet in marg. τὸν μοχλὸν Φa et v et marg. M, qui in textu ἢ τὸν μοχλόν. κόρηθρον] κόρϊθρον (ϊ e correctione) Φ. ἢ καὶ] καὶ om Φ. ἐπειπών] ἔπειτα Φ. ἐπῳδὴν] ἐπαοιδὴν Φ. ἀπήντλει] ἐμπίπλη Φ. ὠψώνει Φ (diserte) et g. ὀψώνει v. καὶ πάντα Γ. καὶ ἐς πάντα ΦMa et v. vide Boissonadium ad Aristaenet. p. 290. δεξιῶς — ἡμῖν affert Thomas M. p. 79,

διακονίας, αὖθις κόρηθρον τὸ κόρηθρον ἢ ὕπερον τὸ ὕπερον ἄλλην ἐπῳδὴν ἐπειπὼν ἐποίει ἄν. τοῦτο ἐγὼ πάνυ ἐσπουδακὼς οὐκ εἶχον ὅπως ἐκμάθοιμι παρ' αὐ-
62 τοῦ· ἐβάσκαινε γάρ, καίτοι * πρὸς τὰ ἄλλα προχειρότατος ὤν. μιᾷ δέ ποτε ἡμέρᾳ λαθὼν ἐπήκουσα τῆς ἐπῳδῆς, (ἦν δὲ τρισύλλαβος) σχεδὸν ἐν σκοτεινῷ ὑποστάς. καὶ ὁ μὲν ᾤχετο ἐς τὴν ἀγορὰν ἐντειλάμενος τῷ ὑπέρῳ ἃ ἔδει ποιεῖν, 36. ἐγὼ δὲ ἐς τὴν ὑστεραίαν ἐκείνου τι κατὰ τὴν ἀγορὰν πραγματευομένου λαβὼν τὸ ὕπερον σχηματίσας, ὁμοίως ἐπειπὼν τὰς συλλαβάς, ἐκέλευον ὑδροφορεῖν. ἐπεὶ δὲ ἐμπλησάμενος τὸν ἀμφορέα ἐκόμισε, πέπαυσο, ἔφην, καὶ μηκέτι ὑδροφόρει, ἀλλ' ἴσθι αὖθις ὕπερον. τὸ δὲ οὐκέτι μοι πείθεσθαι ἤθελεν, ἀλλ' ὑδροφόρει ἀεί, ἄχρι δὴ ἐνέπλησεν ἡμῖν ὕδατος τὴν οἰκίαν ἐπαντλοῦν. ἐγὼ δὲ ἀμηχανῶν τῷ πράγματι, (ἐδεδίειν γὰρ μὴ ὁ Παγκράτης ἐπανελθὼν ἀγανακτήσῃ, ὅπερ καὶ ἐγένετο) ἀξίνην λαβὼν διακόπτω τὸ ὕπερον εἰς δύο μέρη· τὰ δὲ ἑκάτερα ἀμφορέας λαβόντα ὑδροφόρει καὶ ἀνθ' ἑνὸς δύο μοι ἐγένοντο διάκονοι. ἐν τούτῳ καὶ ὁ Παγκράτης ἐφίσταται καὶ συνεὶς τὸ γενόμενον ἐκεῖνα μὲν αὖθις ἐποίησε ξύλα, ὥσπερ ἦν πρὸ τῆς ἐπῳδῆς, αὐτὸς δὲ ἀπολιπών με λαθὼν οὐκ οἶδ' ὅποι

---

12 R., ubi ὑπηρέτει, ὑπηρέτειεν, ὑπερέτων, ὑπηρέτησεν variatur. εἶτ' ἐπειδὴ Φ (sed εἶτα, non εἶτ'). εἶτα δὲ ἐπειδὴ v. κόριθρον τὸ κόρηθρον Φ. ἐπῳδὴν Φ et v. ᾠδὴν Ma. ἐπειπὼν] εἰπὼν Φ. ἐποίει ἄν] ἂν om VΦ. ἐβάσκαινε γὰρ ΦMa, quod in Quaestt. p. 363 probavi. ἐβάσκαινε γὰρ αὐτοῦ v. τῆς ἐπῳδῆς] τῆς ἐπαοιδῆς Φ. τὴν ἐπῳδὴν a. τὴν ᾠδὴν M. ἐν σκοτεινῷ ὑποστὰς affert Thomas M. p. 366, 16 R. ἔδει ΦM m n. ἔδοι a et pleraeque edd. vett. δέοι Reitzius.

36. ἐκέλευον] ἐκέλευσα VΦd. ἐκόμισε] ἐκόμισεν Φ. πείθεσθαι] πείσεσθαι Φ. ἄχρι δὴ] ἄχρις ἤδη Φ. ἐπαντλοῦν] ἀπαντλοῦν a. ἑκάτερα YVΦ. ἑκατέρων c. ἑκάτερον Ma et v. continuo addunt κατὰ μέρος V, κατάμερος Φ, τὸ μέρος Ma et v, quae mera sunt glossemata. itaque delevi. ἀμφορέας ΦMa. ἀμφορέα v. ἐγένοντο] ἐγεγένηντο V. διάκονοι Belinus. οἱ διάκονοι VΦ et corrector in M et v. ὑδροφόροι a et m pr M, quod in Quaestt. p. 364 probabam: at id quidem praegresso ὑδροφόρει parum elegans est. ἐπῳδῆς] ἐπαοιδῆς YΦ. ἐπικλυ-

ἀφανὴς ᾤχετο ἀπιών. νῦν οὖν, ἔφη ὁ Δεινόμαχος, οἶσθα κἂν ἐκεῖνο, ἄνθρωπον ποιεῖν ἐκ τοῦ ὑπέρου; νὴ Δί', ἦ δ' ὅς, ἐξ ἡμισείας γε· οὐκέτι γὰρ εἰς τὸ ἀρχαῖον οἷόν τέ μοι ἄγειν αὐτὸ, ἢν ἅπαξ γένηται ὑδροφόρος, ἀλλὰ δεήσει * ἡμῖν ἐπικλυσθῆναι τὴν οἰκίαν ἐπαντλουμένην. 63
37. οὐ παύσεσθε, ἦν δ' ἐγὼ, τὰ τοιαῦτα τερατολογοῦντες γέροντες ἄνδρες; εἰ δὲ μὴ, ἀλλὰ κἂν τῶν μειρακίων τούτων ἕνεκα εἰς ἄλλον τινὰ καιρὸν ὑπερβάλλεσθε τὰς παραδόξους ταύτας καὶ φοβερὰς διηγήσεις, μή πως λάθωσιν ὑμῖν ἐμπλησθέντες δειμάτων καὶ ἀλλοκότων μυθολογημάτων. φείδεσθαι οὖν χρὴ αὐτῶν μηδὲ τοιαῦτα ἐθίζειν ἀκούειν, ἃ διὰ παντὸς τοῦ βίου συνόντα ἐνοχλήσει καὶ ψοφοδεεῖς ποιήσει ποικίλης τῆς δεισιδαιμονίας

σθῆναι ΦΜ (ut videtur) secundum Gronovi et (ad Diod. Sic. IV, c. 51) Wesselingi emendationem. ἐπικλεισθῆναι a et caeterae edd. vett. c. 35 init. — c. 36 fin.] quod rhetores, (ut Seneca pater in Controvers. XXVIII) praecipere solebant, non minus magnam virtutem esse, scire desinere quam scire dicere: id ab Luciano ubique observatum est. vel hic omnia miracula novo miraculo finiuntur, quod ad magorum artes irridendas egregio comparatum est. ipse Goethius Luciani venustate captus hunc locum in septem stropharum odarium redegit, cui „Der Zauberlehrling" inscriptum est. et argumentum quidem quum ab Luciano ita narratum vidisset, ut ne optari quidem melius possit, Goethius integrum servavit, brevitatem quoque eandem, cui Lucianus studuit, recte secutus, ab inepta Ovidii luxurie procul remotam. omnino minora quoque Goethii nostri carmina pleraque laudem et admirationem merentur, quam rem si quis alius, C. Reisigius in Conjectan. p. 138 praeclare sensit. qui quum talem Goethii locum vel germanice vel latine pro dignitate satis laudari posse diffideret: graecis verbis Goethii versus tanquam aliquod Χαρίτων ἄνθος dilaudavit.

37. παύσεσθε Φ, uti Bekker conjecerat. παύεσθε v. latinum „pergitin?" in Quaestt. p. 364 contuli. adde Cic. Pro Mur. c. 17 et De Oratore III, 24. γέροντες om Ma. εἰ δὲ μὴ] εἴγε μὴ Ma. εἰς ἄλλον τινὰ Φ et corrector in M. εἰς ἄλλον v et pm
ε
M. ὑπερβάλλεσθε] ὑπερβάλλεσθαι Φ. ὑπεβάλλεσθε a. libri ἡμῖν, sed ὑμῖν correxi in Quaestt. p. 364. Eucratem potissimum alloquitur, liberum suorum, qui tum (supra c. 22 et c. 27) aderant, corruptelam. ἐθίζειν] ἐρεθίζειν Φ. συνόντα ἐνοχλήσει Φ. ἐνοχλήσει συνόντα v. ἐμπιπλάντα] ἐμπιμπλάντα Φ.

ἐμπιπλάντα. 38. εὖ γε ὑπέμνησας, ἦ δ' ὃς ὁ Εὐκράτης,
εἰπὼν τὴν δεισιδαιμονίαν. τί γάρ σοι, ὦ Τυχιάδη, περὶ
τῶν τοιούτων δοκεῖ, λέγω δὴ χρησμῶν καὶ θεοφάτων
καὶ ὅσα θεοφορούμενοί τινες ἀναβοῶσιν ἢ ἐξ ἀδύτων
ἀκούεται ἢ παρθένος ἔμμετρα φθεγγομένη προθεσπίζει
τὰ μέλλοντα; ἢ δηλαδὴ καὶ τοῖς τοιούτοις ἀπιστήσεις;
ἐγὼ δὲ ὅτι μὲν καὶ δακτύλιόν τινα ἱερὸν ἔχω Ἀπόλλωνος
τοῦ Πυθίου εἰκόνα ἐκτυποῦντα σφραγῖδα καὶ οὗτος ὁ
Ἀπόλλων φθέγγεται πρὸς ἐμέ, οὐ λέγω, μή σοι ἄπιστόν
τι δόξω περὶ ἐμαυτοῦ μεγαλαυχεῖσθαι· ἃ δὲ ἐν Ἀμφι-
λόχου τε ἤκουσα ἐν Μαλλῷ, τοῦ ἥρωος ὕπαρ διαλεχθέν-
τος μοι καὶ συμβουλεύσαντος ὑπὲρ τῶν ἐμῶν καὶ ἃ εἶ-
64 δον αὐτός, ἐθέλω ὑμῖν εἰπεῖν, * εἶτα ἑξῆς ἃ ἐν Περγά-
μῳ εἶδον καὶ ἤκουσα ἐν Πατάροις. ὁπότε γὰρ ἐξ Αἰ-
γύπτου ἐπανῄειν οἴκαδε, ἀκούων τὸ ἐν Μαλλῷ τοῦτο
μαντεῖον ἐπιφανέστατόν τε καὶ ἀληθέστατον εἶναι καὶ
χρᾶν ἐναργῶς πρὸς ἔπος ἀποκρινόμενον οἷς ἂν ἐγγράψας
τις εἰς τὸ γραμματεῖον παραδῷ τῷ προφήτῃ, καλῶς
ἔχειν ἡγησάμην ἐν παράπλῳ πειραθῆναι τοῦ χρηστηρίου
καί τι περὶ τῶν μελλόντων συμβουλεύσασθαι τῷ θεῷ.
39. ταῦτα ἔτι τοῦ Εὐκράτους λέγοντος ἰδὼν οἷ τὸ
πρᾶγμα προχωρήσειν ἔμελλε καὶ ὡς οὐ μικρᾶς ἐνήρχετο
τῆς περὶ τὰ χρηστήρια τραγῳδίας, οὐ δοκιμάσας μόνος

38. ὑπέμνησας] ὑπεκίνησας Φ. προθεσπίζει] θεσπίζει Φ. ἐκτυποῦντα σφραγῖδα] ita correxi. ἐκτυποῦσαν τὴν (σφραγίδα M) σφραγῖδα ΦMa. ἐκτυπούσης τῆς σφραγῖδος v. vide Jov. Tragoed. c. 33. οὗτος] οὕτως Φa. ἄπιστόν τι] ita conjeci. ἄπιστον Φ. ἀπιστοῦντι VU. ἄπιστα v. ὕπαρ διαλεχθέντος Larcher ad Herodot. V p. 317. libri ὑπερδιαλεχθέντος. ὑμῖν] ἡμῖν a. ἀληθέστατον εἶναι] εἶναι om Φ. καλῶς ἔχειν Φ. καλῶς ἂν ἔχειν v. καί τι] τι om Φ. male. vide Thucyd. VIII, 68. περὶ τῶν μελλόντων Φ. περὶ μελλόντων v. τῷ θεῷ Φ diserte et v et corrector in M, ubi m pr τῇ θεῷ.

39. ταῦτα ἔτι] ταῦτα om Φ male. vide Somnium c. 14 init. εὐκράτους Φ diserte et v. εὐκράτου a. ἔμελλε] ἔμελλεν Φ. οὐ μικρᾶς] ita correxi. libri οὐ περὶ μικρᾶς, cujus vitii origo manifesta est. vide Somnium c. 3 init. et Bis Accus. c. 11. οὐ δοκιμάσας μόνος ΥΦMa. οὐ δοκεῖν οἰηθεὶς δεῖν μόνος v, quod olim in Quaestt. p. 103 probaram. at vide Toxar. c. 57.

ἀντιλέγειν ἅπασιν, ἀπολιπὼν αὐτὸν ἔτι διαπλέοντα ἐξ Αἰγύπτου εἰς τὴν Μαλλὸν, (καὶ γὰρ συνίειν ὅτι μοι ἄχθονται παρόντι καθάπερ ἀντισοφιστῇ τῶν ψευσμάτων) ἀλλ' ἐγὼ ἄπειμι, ἔφην λέγων, Λεόντιχον ἐπιζητήσων· δέομαι γάρ αὐτῷ τι συγγενέσθαι. ὑμεῖς δὲ, ἐπεὶ οὐχ ἱκανὰ ἡγεῖσθε τὰ ἀνθρώπινα εἶναι, καὶ αὐτοὺς ἤδη τοὺς θεοὺς καλεῖτε συνεπιληψομένους ὑμῖν τῶν μυθολογουμένων· καὶ ἅμα λέγων ἐξῄειν. οἱ δὲ ἄσμενοι ἐλευθερίας λαβόμενοι εἱστίων, ὡς τὸ εἰκὸς, * αὐτοὺς καὶ ἐνεφοροῦντο τῶν ψευσμάτων.

Τοιαῦτά σοι, ὦ Φιλόκλεις, παρὰ Εὐκράτει ἀκούσας ἥκω νὴ τὸν Δι' ὥσπερ οἱ τοῦ γλεύκους πιόντες ἐμπεφυσημένος τὴν γαστέρα ἐμέτου δεόμενος. ἡδέως δ' ἄν ποθεν ἐπὶ πολλῷ ἐπριάμην ληθεδανόν τι φάρμακον ὧν ἤκουσα, ὡς μή τι κακὸν ἐργάσηταί με ἡ μνήμη αὐτῶν ἐνοικουροῦσα· τέρατα γοῦν καὶ δαίμονας καὶ Ἑκάτας ὁρᾶν μοι δοκῶ. 40. ΦΙΛ. καὶ αὐτὸς, ὦ Τυχιάδη, τοιοῦτόν τι ἀπέλαυσα τοῦ διηγήματος. φασί γέ τοι μὴ μόνον λυττᾶν καὶ τὸ ὕδωρ φοβεῖσθαι ὁπόσους ἂν οἱ λυττῶντες κύνες δάκωσιν, ἀλλὰ κἄν τινα ὁ δηχθεὶς ἄνθρωπος δάκῃ, ἴσα τῷ κυνὶ δύναται τὸ δῆγμα καὶ τὰ αὐτὰ κἀκεῖνος

συνίειν Reitzius. συνίειν (η ex correctione) Φ. συνίην v. ἔφην λέγων] ita conjeci. ἔφην v. λέγων (omisso ἔφην) Φ. vide Demosth. Encom. c. 15 init: ἔφη που λέγων, Aristoph. ap. Priscian. II p. 269 ed Kr: φαθὶ λέγων, Soph. Aj. v. 757: ὡς ἔφην λέγων, ubi Lobeckius p. 340 ed. sec. multa de hoc pleonasmo collegit. ὑμεῖς δὲ — καὶ αὐτοὺς] haec mutila sunt. nam et post ὑμεῖς δὲ imperativus χαίρετε et ἀλλὰ ante καὶ αὐτοὺς deesse videntur. suppleo: ὑμεῖς δὲ [χαίρετε·] ἐπεὶ οὐχ ἱκανὰ ἡγεῖσθε τὰ ἀνθρώπινα εἶναι, [ἀλλὰ] καὶ αὐτοὺς —. ἡγεῖσθε] ἡγεῖσθαι a. αὐτοὺς jam olim scripsi. libri αὐτοὺς —. ἀκούσας ἥκω] malim ἀκούσας πάρειμι. nam ἀκούσας περίειμι et in marg. alia manu ∸ γρ. ἥκω Φ. δι' Φ. Δία v. ἐπὶ πολλῷ] ἐπὶ πολλῶν Φ.

40. ΦΙΛ. om edd. quaedam veteres ab Aldina, sed addidit Solanus. vacuum spatium est in a. ΦΙΛ. habere videntur ΦΜ. ἀπέλαυσα ΥΦΜa. ἀπήλαυσα v. τοῦ διηγήματος Φ. τῆς διηγήσεως v. vide supra c. 33 init. hic autem in vocabulis διήγημα et δῆγμα ludi videtur. φασί γέ τοι] eadem similitudinis translatio est in Nigrino c. 38. Εὐκράτους] εὐκράτου Φ hic, non item

φοβεῖται. καὶ σὺ τοίνυν ἔοικας αὐτὸς ἐν Εὐκράτους δηχθεὶς ὑπὸ πολλῶν ψευσμάτων μεταδεδωκέναι κἀμοὶ τοῦ δήγματος· οὕτω δαιμόνων μοι τὴν ψυχὴν ἐνέπλησας. ΤΥΧ. ἀλλὰ θαρρῶμεν, ὦ φιλότης, μέγα τῶν τοιούτων ἀλεξιφάρμακον ἔχοντες τὴν ἀλήθειαν καὶ τὸν ἐπὶ πᾶσι λόγον ὀρθὸν, ᾧ χρωμένους ἡμᾶς οὐδὲν μὴ ταράξῃ τῶν κενῶν καὶ ματαίων τούτων ψευσμάτων.

---

supra. ΤΥΧ. addidit Solanus, om et ipsum et signum edd. veteres, etiam a. sed ΤΥΧ. habere videntur ΦΜ. *οὐδὲν μὴ ταράξῃ* Jacobitius. *μηδὲν μὴ ταράξῃ* ΦΜa. *οὐδὲν οὐ μὴ ταράξῃ* v, quod in Quaestt. p. 45 et p 366 defendebam probante Bekkero. denique Cobetus V. L. p. 192 *οὐδὲν μὴ ταράξει* infeliciter conjecit.

ΠΕΡΙ ΤΩΝ ΕΠΙ ΜΙΣΘΩΙ ΣΥΝΟΝΤΩΝ.

Reitz. I p. 651.

1. *Καὶ τί σοι πρῶτον, ὦ φιλότης, ἢ τί ὕστατον,*
φασί, καταλέξω τούτων, ἃ πάσχειν ἢ ποιεῖν ἀνάγκη τοὺς
ἐπὶ μισθῷ συνόντας κἀν ταῖς τῶν εὐδαιμόνων τούτων
φιλίαις ἐξεταζομένους, εἰ χρὴ φιλίαν τὴν τοιαύτην αὐτῶν
δουλείαν ἐπονομάζειν; οἶδα γὰρ πολλὰ καὶ σχεδὸν τὰ
πλεῖστα τῶν συμβαινόντων αὐτοῖς, οὐκ αὐτὸς μὰ Δία
τοῦ τοιούτου πειραθεὶς (οὐ γὰρ ἐν ἀνάγκῃ μοι ἡ πεῖρα
γεγένηται, μηδέ, ὦ θεοί, γένοιτο) ἀλλὰ πολλοὶ τῶν ἐς
τὸν βίον τοῦτον ἐμπεπτωκότων ἐξηγόρευον πρός με, οἱ
μὲν ἔτι ἐν τῷ κακῷ ὄντες, ἀποδυρόμενοι ὁπόσα καὶ
ὁποῖα ἔπασχον, οἱ δ' ὥσπερ ἐκ δεσμωτηρίου τινὸς ἀπο-
δράντες οὐκ ἀηδῶς μνημονεύοντες ὧν ἐπεπόνθεσαν,
* *ἀλλ' ὑπερευφραίνοντο ἀναλογιζόμενοι οἵων ἀπηλλά-* 652
γησαν. ἀξιοπιστότεροι δὲ ἦσαν οὗτοι διὰ πάσης, ὡς εἰ-
πεῖν, τῆς τελετῆς διεξεληλυθότες καὶ πάντα ἐξ ἀρχῆς ἐς
τέλος ἐποπτεύσαντες. οὐ παρέργως οὖν οὐδ' ἀμελῶς
ἐπήκουον αὐτῶν καθάπερ ναυαγίαν τινὰ καὶ σωτηρίαν

1. *ὕστατον*] *ὑστάτιον* Cobetus V. L. p. 239 ob Odyss. *ι'*, 14, qui versus h. l. non integer allatus est. tum in Il. *ε'*, 703 idem poeta habet: *τίνα πρῶτον, τίνα δ' ὕστατον.* *φασί, καταλέξω*] *καταλέξω, φασὶ* *Δ*. *πειραθεὶς*] *πειρασθεὶς* A. *βίου πειραθεὶς* (hoc ordine) *Δ*. *γεγένηται*] ita correxi. *γεγένητο Ω*. *ἐγένετο Δ*. *ἐγεγένητο* ΦΑ et v. *οἱ δ' ὥσπερ*] *οἱ δὲ ὥσπερ* ΦΑΜ*Δ*. *ἐπεπόνθεισαν* V*Δ*. *ἀλλ' ὑπερευφραίνοντο*] ita correxi. vide Icaromenipp. c. 2 init. libri *ἀλλὰ γὰρ εὐφραίνοντο*, in quibus verbis *γὰρ* vitiosum esse unus vidit Solanus. *διεξεληλυθότες* ΓΕΦΑΩC. *ἐξεληλυθότες* a. *ἐποπτεύσαντες*] *ἀποπτεύσαντες* A. *ὑποπτεύοντες* Φ. *οὐδ' ἀμελῶς*] *οὐδὲ ἀμελῶς* ΦΑC. *σωτηρίαν* Ωa et v. *σωτηρίαν αὐτῶν* ΓΕΦΑCT. at *αὐτῶν* modo praecessit. hinc *αὐ-*

παράλογον διηγουμένων, οἷοί εἰσιν οἱ πρὸς τοῖς ἱεροῖς,
ἐξυρημένοι τὰς κεφαλὰς καὶ συνάμα πολλοὶ τὰς τρικυμίας
καὶ ζάλας καὶ ἀκρωτήρια καὶ ἐκβολὰς καὶ ἱστοῦ κλάσεις καὶ
πηδαλίων ἀποκαυλίσεις διεξιόντες, ἐπὶ πᾶσι δὲ τοὺς
Διοσκούρους ἐπιφαινομένους, (οἰκεῖοι γὰρ τῆς τοιαύτης
τραγῳδίας οὗτοί γε) ἤ τιν' ἄλλον ἐκ μηχανῆς θεὸν ἐπὶ
τῷ καρχησίῳ καθεζόμενον ἢ πρὸς τοῖς πηδαλίοις ἑστῶτα
καὶ πρός τινα ἠόνα μαλακὴν ἀπευθύνοντα τὴν ναῦν,
οἷ προσενεχθεῖσα ἔμελλεν ἡ μὲν ἠρέμα καὶ κατὰ σχολὴν
διαλυθήσεσθαι, αὐτοὶ δ' ἀσφαλῶς ἀποβήσεσθαι χάριτι
653 καὶ εὐμενείᾳ τοῦ θεοῦ, ἐκεῖνοι μὲν οὖν τὰ * πολλὰ
ταῦτα πρὸς τὴν χρείαν τὴν παραυτίκα ἐπιτραγῳδοῦσιν,
ὡς παρὰ πλειόνων λαμβάνοιεν οὐ δυστυχεῖς μόνον, ἀλλὰ
καὶ θεοφιλεῖς τινες εἶναι δοκοῦντες. 2. οἱ δὲ τοὺς ἐν
ταῖς οἰκίαις χειμῶνας καὶ τὰς τρικυμίας καὶ νὴ Δία
πεντακυμίας τε καὶ δεκακυμίας, εἰ οἷόν τε εἰπεῖν, διη-
γούμενοι, καὶ ὡς τὸ πρῶτον εἰσέπλευσαν γαληνοῦ ὑπο-
φαινομένου τοῦ πελάγους, καὶ ὅσα πράγματα παρὰ τὸν
πλοῦν ὅλον ὑπέμειναν ἢ διψῶντες ἢ ναυτιῶντες ἢ ὑπερ-
αντλούμενοι τῇ ἅλμῃ, καὶ τέλος ὡς πρὸς πέτραν τινὰ
ὕφαλον ἢ σκόπελον ἀπόκρημνον περιρρήξαντες τὸ δύ-
στηνον σκαφίδιον ἄθλιοι κακῶς ἐξενήξαντο γυμνοὶ καὶ
πάντων ἐνδεεῖς τῶν ἀναγκαίων· ἐν δὴ τούτοις καὶ τῇ
τούτων διηγήσει ἐδόκουν μοι τὰ πολλὰ οὗτοι ὑπ' αἰσχύ-

τῶν cum Ω delere malui quam cum Graevio scribere σωτηρίαν αὐτῶν. ἐξυρημένοι] ἐξηρημένοι A. καὶ συνάμα πολλοὶ Φ. οὖν ἅμα (συνάμα A) πολλοὶ A et v. ἱστοῦ ΓΕΦCΔ et qui ἱστοῦ A. ἱστῶν vulgo et qui ἱστῶν Ω. ἐπὶ τῷ καρχησίῳ] καρχήσιον (ita codex) τὸ ἄκρον τοῦ ἱστοῦ schol. C. ἠόνα Dindorfius pro ἠϊόνα. οἷ] ἢ AC. οὗ ΔV. ἔμελλεν ἡ μὲν] ita corrigere malui quam ἔμελλεν αὕτη μέν. libri ἔμελλεν αὐτὴ μὲν mendose, ut docent opposita: αὐτοὶ δέ. δ' ἀσφαλῶς] δὲ ἀσφαλῶς ΦA. εὐμενείᾳ EΦAC. εὐμενίᾳ a. τὴν χρείαν τὴν παραυτίκα (παρ' αὐτίκα V) ΓEΦACΩMΔV. τὴν παραυτίκα χρείαν a. οὖν] οἱ A.

2. τὰς τρικ.] τὰς addunt ΓEΦAΩ a d. καὶ νὴ δία — δεκακυμίας] haec septem verba om Φ. habent autem libri πεντακυμίας, nullus πεντεκυμίας. sed vide praeter alios Cobetum V. L. p. 248 sq. εἰ] ὡς AC. εἰσέπλευσαν] ὑπέπλευσαν Ω. τὰ

νης ἐπικρύπτεσθαι καὶ ἑκόντες εἶναι ἐπιλανθάνεσθαι
* αὐτῶν· ἀλλ' ἔγωγε κἀκεῖνα καὶ ὅσα ἄλλα ἐκ τοῦ λόγου 654
ξυντιθεὶς εὑρίσκω προσόντα ταῖς τοιαύταις ξυνουσίαις, οὐκ ὀκνήσω σοι πάντα, ὦ καλὲ Τιμόκλεις, διεξελθεῖν· δοκῶ γάρ μοι ἐκ πολλοῦ ἤδη κατανενοηκέναι σε τούτῳ τῷ βίῳ ἐπιβουλεύοντα. 3. καὶ πρῶτόν γε, ὁπηνίκα περὶ τῶν τοιούτων ὁ λόγος ἐνέπεσεν, εἶτα ἐπῄνεσέ τις τῶν παρόντων τὴν τοιαύτην μισθοφορὰν τρισευδαίμονας εἶναι λέγων, οἷς μετὰ τοῦ φίλους ἔχειν τοὺς ἀρίστους Ῥωμαίων καὶ δειπνεῖν δεῖπνα πολυτελῆ καὶ ἀσύμβολα καὶ οἰκεῖν ἐν καλῷ καὶ ἀποδημεῖν μετὰ πάσης ῥᾳστώνης καὶ ἡδονῆς ἐπὶ λευκοῦ ζεύγους, εἰ τύχοι, ἐξυπτιάζοντας, προσέτι καὶ μισθὸν τῆς φιλίας καὶ ὧν εὖ πάσχουσι τούτων λαμβάνειν οὐκ ὀλίγον ἔστιν, (ἀτεχ-

---

πολλὰ] ταπολλὰ Φ et qui paullo ante τοπρῶτον A. καὶ — αὐτῶν] καὶ ἑκόντες ὄντες ἐπιλανθάνεσθαι (duo ἐπιλανθάνεσθε) ἑαυτῶν Thomas p. 125, 8 loco perturbato. nam Thomae verba: γράφεται δὲ καὶ ἑκόντες ὄντες non ad Herodot. VII, 164, ubi de uno Cadmo sermo est, sed ad Lucianum pertinent. transpone apud Thomam: — ἐς Σικελίην. καὶ Λουκιανὸς ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ συνόντων „καὶ ἑκόντες εἶναι“ (ita scribo) ἐπιλανθάνεσθαι αὐτῶν. γράφεται δὲ καὶ „ἑκόντες ὄντες“. Ἀριστείδης ἐν τῷ Π. — τιμῆσαι. sumserat haec Thomas e scholiis ad hunc ipsum l. plenioribus quam est hodiernum: „ὅτι τῷ ἑκόντες εἶναι ἄνευ ἀποφάσεως ἐχρήσατο. κἀκεῖνα καὶ ὅσα ἄλλα] ita conjeci. κἀκεῖνα καὶ ἔστιν ἃ ἄλλα Φ. κἀκεῖνα καί ἐστιν ἄλλα Ω. ἐστὶν etiam Γ. κἀκεῖνα καί τιν' ἄλλα A et v. frequens est ὅσα ἄλλα, velut infra c. 5, Halmius in censura l. l. p. 246 κἀκεῖνα καὶ εἴ τιν' (vel ἅτιν') ἄλλα conjecit et εἴ τιν' quidem parum apte. sententia „quaecunque“, non „si quae“, requirit. Urbanus in Act. soc. gr. I p. 259: κἀκεῖνα καὶ ἔτι τιν' ἄλλ', ἃ — non magis recte. τοῦ λόγου ΓΕΦΑCΩΔ. τῶν λόγων v. ξυνουσίαις, οὐκ Φ et ut videtur Ω et p m E. ξυνουσίαις, ἃ οὐκ A et sec m E et v. Urbanus et Halmius ll. ll. ἃ primi deleverunt.

3. μισθοφορὰν] μισθοφορίαν Solanus, vide Schaeferum ad Demosth. V p. 284 et ad Plutarch. IV p. 351. οἷς] οὓς Y. μετὰ τοῦ φίλους Bekker. μετὰ τὸ φίλους Ω. μετὰ τὸ τοὺς φίλους ΕΦΑCa. μετὰ τοῦ τοὺς φίλους v. ῥωμαίων AC (ita C) ΦΩ et v. ῥωμαίους V et M vel Δ. καὶ ἀσύμβολα] ἀσυμβόλους Cobetus V. L. p. 239 scribit jure dubitante Dindorfio Praef. Vol. I p. XI. τούτων] τοῦτον ΩΜ et apud Gailium Δ. φύεσθαι] φύεται ΩΜ.

νῶς γὰρ ἄσπορα καὶ ἀνήροτα τοῖς τοιούτοις τὰ πάντα
φύεσθαι) ὁπότε οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἤκουες, ἑώ-
655 ρων ὅπως * ἐκεχήνεις πρὸς αὐτὰ καὶ πάνυ σφόδρα πρὸς
τὸ δέλεαρ ἀναπεπταμένον παρεῖχες τὸ στόμα. ὡς οὖν
τό γε ἡμέτερον εἰσαῦθίς ποτε ἀναίτιον ᾖ, μηδ' ἔχῃς
λέγειν, ὡς ὁρῶντές σε τηλικοῦτο μετὰ τῆς καρίδος ἄγκι-
στρον καταπίνοντα οὐκ ἐπελαβόμεθα οὐδὲ πρὶν ἐμπε-
σεῖν τῷ λαιμῷ περιεσπάσαμεν οὐδὲ προεδηλώσαμεν,
ἀλλὰ περιμείναντες ἐξελκόμενον, καὶ ἐμπεπηγότος ἤδη
συρόμενον καὶ πρὸς ἀνάγκην ἀγόμενον ὁρᾶν, ὅτ' οὐδὲν
ὄφελός σοι, ἑστῶτες ἐπεδακρύομεν· ὅπως μὴ ταῦτα λέ-
γῃς ποτὲ πάνυ εὔλογα, ἢν λέγηται, καὶ ἄφυκτα ἡμῖν,
ὡς οὐκ ἀδικοῦμεν μὴ προμηνύσαντες, ἄκουσον ἐξ ἀρχῆς
ἁπάντων καὶ τὸ δίκτυόν τε αὐτὸ καὶ τῶν κύρτων τὸ
ἀδιέξοδον ἔκτοσθεν ἐπὶ σχολῆς, ἀλλὰ μὴ ἔνδοθεν ἐκ τοῦ
μυχοῦ προεπισκόπησον, καὶ τοῦ ἀγκίστρου δὲ τὸ ἀγκύ-
λον καὶ τὴν ἐς τὸ ἔμπαλιν τοῦ σκόλοπος ἀναστροφὴν
656 καὶ τῆς τριαίνης τὰς ἀκμὰς ἐς * τὰς χεῖρας λαβὼν καὶ
πρὸς τὴν γνάθον πεφυσημένην ἀποπειρώμενος, ἢν μὴ
πάνυ ὀξέα μηδ' ἄφυκτα μηδ' ἀνιαρὰ ὄντα τοῖς τραύ-

εἰσαῦθις om a. εἰς αὖθις ETACbed. μηδ'] μὴ δὲ A. ἔχῃς conjeci in Quaestt. p. 152. libri ἔχοις. περιμείναντες ἐξελκόμενον] cohaerent περιμείναντες ὁρᾶν eadem syntaxi, quae in l. De M. Peregr. c. 7 init. et saepius exstat. tum libri ἐξελκομένου, pro quo J. F. Gronovius male ἑλκομένου voluit. recte vero G. Hermannus: „es ist zu lesen ἐξελκόμενον, inquit: 'sie warten bis der Fisch aus dem Wasser gezogen und an dem schon festsitzenden Angelhaken fortgeschleift wird.'" ὅτ' οὐδὲν ὄφελός σοι,] ita correxi. vide quae ad Gallum c. 3 dicta sunt. ὅτ' οὐδὲν ὄφελος εἰ ΩM. ὅτ' οὐδὲ ὄφελος EA. ὅτ' οὐδὲν ὄφελος v. ἐπεδακρύομεν] ἐπιδακρύομεν Ωa. ἄφυκτα] fallitur Hemsterhusius Anecd. p. (56). recte habet ἄφυκτα, etsi non „quod redargui nequit" ut in Arist. Eqq. v. 757 significatur, sed „quod nequit ab reo demonstrari". ita Guyeti et Gaili conjectura: ὡς ἀδικοῦμεν (deleto οὐκ) inutilis est. τὰ δίκτυόν τε Δ, quod in Quaestt. p. 153 probavi. τό δίκτυόν γε AΩ et v. ἀγκίστρου] ἀγκύστρου a. ἐς τάς] AC et fortassis Ω. εἰς τὰς v. μηδ' ἄφυκτα μηδ'] μὴ δὲ ἄφυκτα μὴ δὲ (μὴ δὴ Φ) ACΦ et fortassis Ω. ἀνιαρὰ ὄντα τοῖς τρ.] ita correxi. libri ἀνιαρὰ ἐν τοῖς τρ. ἡμᾶς μὲν] ἡμᾶς δὲ A.

μασι φαίνηται βιαίως σπῶντα καὶ ἀμάχως ἀντιλαμβανόμενα, ἡμᾶς μὲν ἐν τοῖς δειλοῖς καὶ διὰ τοῦτο πεινῶσιν ἀνάγραφε, σεαυτὸν δὲ παρακαλέσας θαρρεῖν ἐπιχείρει τῇ ἄγρᾳ, εἰ θέλεις, καθάπερ ὁ λάρος ὅλον περιχανὼν τὸ δέλεαρ. 4. ῥηθήσεται δὲ ὁ πᾶς λόγος τὸ μὲν ὅλον ἴσως διὰ σέ, πλὴν ἀλλ' οὐ περί γε τῶν φιλοσοφούντων ὑμῶν μόνον, οὐδ' ὁπόσοι σπουδαιοτέραν τὴν προαίρεσιν προείλοντο ἐν τῷ βίῳ, ἀλλὰ καὶ περὶ γραμματικῶν καὶ ῥητόρων καὶ μουσικῶν καὶ ὅλως τῶν ἐπὶ παιδείᾳ συνεῖναι
καὶ μισθοφορεῖν ἀξιουμένων. * κοινῶν δὲ ὡς ἐπίπαν 657
ὄντων καὶ ὁμοίων τῶν ξυμβαινόντων ἅπασι, δῆλον ὡς οὐκ ἐξαίρετα μέν, αἰσχίω δὲ τὰ αὐτὰ ὄντα γίγνεται τοῖς φιλοσοφοῦσιν, εἰ τῶν ὁμοίων τοῖς ἄλλοις ἀξιοῖντο καὶ μηδὲν αὐτοὺς σεμνότερον οἱ μισθοδόται ἄγοιεν. ὅ τι δ' ἂν οὖν ὁ λόγος αὐτὸς προϊὼν

σεαυτὸν ΕΦΑCΜΔ. σαυτὸν v. ὁ λάρος] ὁ λάβραξ Υ recte, opinor. per totum hunc l. non de laqueis aviculae agitur sed de piscis captura: quo in genere haec ipsa lupi marini similitudo in libro nostro c. 24 et D. Mort. VIII fin. usurpatur. fortasse tamen ipsius Luciani hoc vitium est, qui Arist. Eqq. v. 951: λάρος κεχηνὼς et similium memor fuerit.

4. ὁ πᾶς] πᾶς ὁ M solus. οὐ περί γε] ita correxi. libri οὔ γε περὶ —. μόνον ACMΔ et fortassis Ω. μόνων v. οὐδ'] οὐδὲ ΦAC et fortassis Ω. ὁπόσοι] ὁποσω^{οι} Ω. libri γραμματιστῶν, pro quo „alii" apud Solanum recte scripsisse videntur γραμματικῶν. vide simillimos locos infra c. 25 et c. 36 et item de iisdem viris verba Juvenalis Sat. III, 76: „grammaticus, rhetor —". ὅλως MΔ. ὅλων^{ς} A. ὅλων cum rasura in ν Ω. ὅλων v. ἐπὶ παιδείᾳ] ἐπὶ παιδείαις ΓΕΦ et fortassis Ω. ἐπὶ παιδείας (ἐπιπαιδείας A) AMΔ. ἀξιουμένων libri idque in Quaestt. p. 153 defendi, ubi Herodotum V, 106 conferre poteram. Gesneri conjectura ἀξιούντων vix opus est. ἐπίπαν ὄντων] ἐπὶ παρόντων Ω et codex Bourdeloti. τοῖς ἄλλοις] contra sententiam Solanus τοῖς πολλοῖς conjecit. vide paullo inferiora: τοὺς μέντοι τοῦ ἄλλου πλήθους —. nempe hi demum sunt οἱ πολλοί, non illi superiores. ἐπιὼν libri omnes, sed A ἐπῑὼν (puncto respondet punctum in marg pr m itaque solet A in verbis corruptis). ego pro inepto isto ἐπιὼν correxi προϊών. vide vel Jov. Confut. c. 6 fin: ὁ δὲ λόγος αὐτὸς οὐκ οἶδ' ὅπως ἡμῖν προϊὼν ἐς τοῦτο ἀπέβη

ἐξευρίσκῃ, τούτου τὴν αἰτίαν μάλιστα μὲν οἱ ποιοῦντες αὐτοί, ἔπειτα δὲ οἱ ὑπομένοντες αὐτὰ δίκαιοι ἔχειν, ἐγὼ δὲ ἀναίτιος, εἰ μὴ ἀληθείας καὶ παρρησίας ἐπιτίμιόν τί ἐστι. τοὺς μέντοι τοῦ ἄλλου πλήθους, οἷον γυμναστάς τινας ἢ κόλακας, ἰδιώτας καὶ μικροὺς τὰς γνώμας καὶ ταπεινοὺς αὐτόθεν ἀνθρώπους, οὔτε ἀποτρέπειν
658 ἄξιον τῶν τοιούτων ξυνουσιῶν, (οὐδὲ γὰρ ἂν * πεισθεῖεν) οὔτε μὴν αἰτιᾶσθαι καλῶς ἔχει μὴ ἀπολειπομένους τῶν μισθοδοτῶν, εἰ καὶ πάνυ πολλὰ ὑβρίζοιντο ὑπ' αὐτῶν· ἐπιτήδειοι γὰρ καὶ οὐκ ἀνάξιοι τῆς τοιαύτης διατριβῆς. ἄλλως τε οὐδὲ σχοῖεν ἄν τι ἄλλο, πρὸς ὅ τι χρὴ ἀποκλίναντας [αὐτοὺς] παρέχειν αὐτοὺς ἐνεργούς, ἀλλ' ἤν τις αὐτῶν ἀφέλῃ τοῦτο, ἄτεχνοι αὐτίκα καὶ ἀργοὶ καὶ περιττοί εἰσιν. οὐδὲν οὖν οὔτ' αὐτοὶ δεινὸν πάσχοιεν ἂν οὔτ' ἐκεῖνοι ὑβρισταὶ δοκοῖεν ἐς τὴν ἀμίδα, φασίν, ἐνουροῦντες· ἐπὶ γάρ τοι τὴν ὕβριν ταύτην ἐξ ἀρχῆς παρέρχονται ἐς τὰς οἰκίας, καὶ ἡ τέχνη φέρειν καὶ ἀνέχεσθαι τὰ

---

et Platon. Phaedr. § 32: ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι. ἐξευρίσκῃ] ἐξευρήσκει A. μάλιστα μὲν] μάλιστα μὲν οὖν Φ. ἐπιτίμιόν τι VY restituitque Solanus. ἐπίτιμόν τι ΓΕΑΩΜΔ editt. vett. ἐπιτιμῶν τις RT. γυμναστάς] Jacobsi (in append. ad Pors. Advers. p. 291) conjecturam γελοιαστὰς Lehmannus allato Juvenal. III, 76, ubi idem „aliptes" dicitur, apte refutavit. iidem saepius προγυμνασταὶ appellati sunt, quod Hyperidi restituo Pro Lycophr. p. 25 ed. Caes: Διωξίππου καὶ Εὐφραίου τοῦ προογυμναστοῦ αὐτοῦ. in Galeno VI, 97 Chart: πολλάκις δὲ καὶ μεταβαλλέτω τὸν προογυμναζόμενον ἐν τούτῳ τῷ καιρῷ jam alii τὸν προγυμναζόμενον bene emendarunt. vide Senecam Epist. 83 init: „progymnastas meos quaeris?" ἄξιον] ἀξιῶν EAT. ἀξίῳ U. ἀξιῶ V. ἀξιω fortassis Ω. ξυνουσιῶν ΕΦACMΔ et fortassis Ω. συνουσιῶν v. ὑ νουσιῶν a μισθοδοτῶν ΓEACΦΩUY et fortasse MΔ. μισθωτῶν v. ὑπ'] παρ' ΩM. αὐτοὺς ut suspectum et e proximo αὐτοὺς natum uncis inclusi. ceterum ἀποκλίναντας verbum est neutrum, ut in Somnio c. 18. παρέχειν αὐτοὺς Φ et fortassis Ω et haud dubie E, de quo Reitzius erravit. παρέχειν (παρέχοιν A) αὐτοὺς A et v. ἀφέλῃ AC (ita C) et v. ἀφέλοι fortasse M vel Δ. ἀμίδα A. ἀμίδα v. φασὶν] ὥς φασιν M. ἐνουροῦντες libri recte, quanquam paroemiographi constanter habent ἀπουρεῖν, ut Incertus ap. Leutsch. Paroemiogr. I p. 399 sive Apostolius ibid. II p. 387: Εἰς τὴν ἀμίδα

γιγνόμενα. περὶ δὲ ὧν προεῖπον τῶν πεπαιδευμένων ἄξιον ἀγανακτεῖν καὶ πειρᾶσθαι ὡς ἔνι μάλιστα μετάγειν αὐτοὺς καὶ εἰς ἐλευθερίαν ἀφαιρεῖσθαι. 5. δοκῶ δέ μοι καλῶς ἂν ποιῆσαι, εἰ τὰς αἰτίας, ἀφ' ὧν ἐπὶ τὸν τοιοῦτον βίον ἀφικνοῦνταί τινες, προεξετάσας δείξαιμι οὐ πάνυ * βιαίους οὐδ' ἀναγκαίας· οὕτω γὰρ ἂν αὐτοῖς 659
ἡ ἀπολογία προαναιροῖτο καὶ ἡ πρώτη ὑπόθεσις τῆς ἐθελοδουλίας. οἱ μὲν δὴ πολλοὶ τὴν πενίαν καὶ τὴν τῶν ἀναγκαίων χρείαν προθέμενοι ἱκανὸν τοῦτο προκάλυμμα οἴονται προβεβλῆσθαι τῆς πρὸς τὸν βίον τοῦτον αὐτομολίας καὶ ἀποχρῆν αὐτοῖς νομίζουσιν, εἰ λέγοιεν, ὡς ξυγγνώμης ἄξιον ποιοῦσι τὸ χαλεπώτατον τῶν ἐν τῷ βίῳ τὴν πενίαν διαφυγεῖν ζητοῦντες· εἶτα ὁ Θέογνις πρόχειρος καὶ πολὺ τὸ „πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος“ καὶ ὅσα ἄλλα δείματα ὑπὲρ τῆς πενίας οἱ ἀγεννέστατοι τῶν ποιητῶν ἐξενηνόχασιν. ἐγὼ δ' εἰ μὲν ἑώρων αὐτοὺς φυγήν τινα ὡς ἀληθῶς τῆς πενίας εὑρισκομένους ἐκ τῶν τοιούτων ξυνουσιῶν, οὐκ ἂν ὑπὲρ τῆς ἄγαν ἐλευθερίας ἐμικρολογούμην πρὸς αὐτούς. ἐπεὶ δὲ

ἀπουρεῖν: ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων. simili convicio „commictilis“ utitur Pomponius comicus ap. Nonium 83, 2.
ἐς τὰς] εἰς τὰς ΦΑ. οἰκίας Φ et v. οἰκείας ΕΑ. libri πρὸς ἐλευθερίαν, sed εἰς ἐλευθερίαν recte Cobetus V. L. p. 272. εἰς ἐλευθερίαν ἀφαιρεῖσθαι (nusquam aliter) notissima et creberrima locutio est, quam expressisse videtur T. Livius XXXI, 29: „in libertatem eximerent“, h. e. ut ipse Livius XXVIII, 39: „servitio eximerent.“

5. δέ μοι] δ' αὖ μοι Δ. hinc scribi potest: δοκῶ δ' ἄν μοι καλῶς ποιῆσαι, ut legitur in D. Deor. XX, 8 fin: δοκῶ δ' ἄν μοι καλῶς δικάσαι —. προεξετάσας ΓΕΑCΦΩΜΔ. παρεξετάσας v. δείξαιμι] δείξαιμοι A. ἐθελοδουλίας cum Dindorfio Φpm. ἐθελοδουλείας m rec E. ἐθελοδουλείας v et Φ correctus. ἱκανὸν] καινὸν RTVY. πρὸς] περὶ AC. ἀποχρῆν] ἀποχρῆναι c. αὐτοῖς] libri αὐτοῖς. λέγοιεν] γέλοιεν A. χαλεπώτατον] χαλεπώταταν A sed pr m ταν mutavit in τον non sine puncto in marg. θέογνις A. Θεόγνις v. πᾶς — δεδμημένος] Theogn. v. 177. post δεδμημένος addit Juntina: οὔτ' ἔτι (sic) εἰπεῖν οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται. quae ne unus quidem codex in textu habet, sed e scholio superstite ad h. l. sumta sunt. δείματα libri. δείγματα error Reitzianae. φυγὴν] φυγεῖν A (ita

660 (ὡς ὁ καλός που ῥήτωρ ἔφη) τοῖς τῶν νοσούντων * σιτίοις ἐοικότα λαμβάνουσι, τίς ἔτι μηχανὴ μὴ οὐχὶ καὶ πρὸς τοῦτο κακῶς βεβουλεῦσθαι δοκεῖν αὐτούς, ἀεὶ μενούσης ὁμοίας [αὐτοῖς] τῆς ὑποθέσεως τοῦ βίου; πενία γὰρ εἰσαεὶ καὶ τὸ λαμβάνειν ἀναγκαῖον καὶ ἀπόθετον οὐδὲν οὐδὲ περιττὸν ἐς φυλακήν, ἀλλὰ τὸ δοθέν, κἂν .... δοθῇ, κἂν ἀθρόως ληφθῇ, πᾶν ἀκριβῶς καὶ τῆς χρείας

A). ῥήτωρ] scholiasta in C: Δημοσθένης ἐν φιλιππικῷ (sic) ταῦτά φησι· τοῖς τῶν νοσούντων σιτίοις ἐοικότα, ἃ οὔτε σώζειν οὔτ' ἀπολλύειν (sic) δύνανται. deinde subjicitur: ἃ οὔτε ἰσχὺν ἐντίθησιν οὔτε ἀποθνήσκειν ἐᾷ. ita expletur, quae post ἐοικότα ἃ ab Clerico animadversa est, lacuna scholii vulgati. scribo: Δημοσθένης ἐν Φιλιππικοῖς ταῦτά φησι· „τοῖς τῶν νοσούντων σιτίοις ἐοικότα, ἃ οὔτε ἰσχὺν ἐντίθησιν οὔτε ἀποθνήσκειν ἐᾷ," [ἤγουν] οὔτε σώζειν οὔτ' ἀπολλύναι δύνανται. Luciani verba τοῖς τ. ν. σ. ἐοικότα scholiasta male tribuit Demostheni, cujus locus non in Philippicis exstat sed in Olynth. III § 33. hunc imitatur etiam Philostratus p. 306: ἀναδιδάξω λόγον ὑμᾶς οὐδὲν ἀπεοικότα τοῖς τῶν ἰατρῶν (corr. οὐδὲν ἐοικότα τοῖς ἀπὸ τῶν sive παρὰ τῶν ἰατρῶν) σιτίοις· καὶ γὰρ ἰσχὺν ἐντίθησι καὶ ἀποθανεῖν οὐκ ἐάσει. alia imitatio legitur in Prooemiis (Demosthenicis) p. 1460 R., ubi est: τοῖς παρὰ τῶν ἰατρῶν σιτίοις et deinceps recte scriptum est: καὶ γὰρ ἐκεῖνα οὔτ' ἰσχὺν —. ipsius Demosthenis locum, qui mihi quidem mendosus videtur adscribam: — τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ οὔτ' ἰσχὺν ἐκεῖνα ἐντίθησιν οὔτ' ἀποθνήσκειν ἐᾷ. καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς —. in his recte Harlejanus hoc ordine: καὶ γὰρ ἐκεῖνα οὔτ' ἰσχὺν idemque ut supra dixi in Prooemiis exstat. at non minus corrupta sunt priora deficiente articulo altero. Lucianei Demosthenis verba: τοῖς τῶν νοσούντων σιτίοις ἐοικότα ostendere videntur, oratorem ipsum ita scripsisse: — „ἃ τοῖς τῶν ἀσθενούντων σιτίοις παρὰ τῶν ἰατρῶν διδομένοις ἔοικε. καὶ γὰρ ἐκεῖνα οὔτ' ἰσχὺν ἐντίθησιν —." ceterum simili metaphora Hyperides Pro Lycophr. p. 23 Caes. utitur: ἀνδράποδα ἀγοράζει καὶ παρέχει ὥσπερ τοῖς λῃσταῖς ἐπισιτισμόν. hoc est: „servis quasi praedonibus tenuem victum praebet."
μηχανὴ] μὴ χανὴ A. μενούσης] μὲν οὔσης Δ. αὐτοῖς ὁμοίας τῆς ΦΩ. ὁμοίας ἐν τοῖς τῆς A. ὁμοίας αὐτοῖς τῆς v. isthuc αὐτοῖς ut sede incerta jactatum et male interpolatum uncis inclusi.
εἰσαεὶ ΦA. εἰς ἀεὶ v. libri κἂν δοθῇ, sed Ω κἂν δοθῇ in textu om et in marg. adscripsit. lacunae signa ego et ob concinnitatem (sequitur enim ἀθρόως) et sententiae causa interposui. dabatur

ἐνδεῶς καταναλίσκεται. καλῶς δὲ εἶχε μὴ τοιαύτας τινὰς ἀφορμὰς ἐπινοεῖν, αἵ τὴν πενίαν τηροῦσι παραβοηθοῦσαι μόνον αὐτῇ, ἀλλ' αἵ τέλεον ἐξαιρήσουσι, καὶ ὑπέρ γε τοῦ τοιούτου καὶ ἐς βαθυκήτεα πόντον ῥιπτεῖν ἴσως δεῖ, ὦ Θέογνι, καὶ πετρέων, ὡς φῄς, κατ' ἠλιβάτων. εἰ δέ τις ἀεὶ πένης καὶ ἐνδεὴς καὶ ὑπόμισθος ὢν οἴεται πενίαν αὐτῷ τούτῳ διαπεφευγέναι, οὐκ οἶδ' ὅπως ὁ τοιοῦτος οὐκ ἂν δόξειεν ἑαυτὸν ἐξαπατᾶν. 6. ἄλλοι δὲ πενίαν μὲν αὐτὴν οὐκ ἂν φοβηθῆναι οὐδὲ καταπλαγῆναί φασιν, εἰ ἐδύναντο τοῖς ἄλλοις ὁμοίως πονοῦντες ἐκπορίζειν τὰ ἄλφιτα, νῦν δὲ (πεπονηκέναι γὰρ αὐτοῖς τὰ σώματα ἢ ὑπὸ γήρως ἢ ὑπὸ νόσων) ἐπὶ τήνδε ῥάστην οὖσαν τὴν μισθοφορὰν ἀπηντηκέναι. φέρ' οὖν ἴδωμεν, εἰ ἀληθῆ λέγουσι καὶ * ἐκ τοῦ ῥάστου μὴ πολλὰ μηδὲ 661
πλείω τῶν ἄλλων πονοῦσι περιγίγνεται αὐτοῖς τὰ διδόμενα· εὐχῇ γὰρ ἐοικότα ἂν εἴη ταῦτά γε, μὴ πονήσαντα

---

enim merces, sed ut e c. 13 apparet, non justo tempore verum alieno. possis κἂν [ἐν δέοντι] δοθῇ, possis κἂν [ἐς καιρὸν] δοθῇ, possis audacter sed aptissime et ἐν καιρῷ supplere et verba τῆς χρείας ita transponere: κἂν [ἐν καιρῷ] τῆς χρείας δοθῇ, κἂν ἀθρόως ληφθῇ, πᾶν ἀκριβῶς καὶ ἐνδεῶς κατ. nam verba ἐν καιρῷ τῆς χρείας infra c. 13 de hac ipsa re ponuntur et de simillima in Saturnal. c. 33 init. tum ἐνδεῶς absolute dici solet, ut infra c. 11.

ἐνδεῶς] ἐνδεὲς U. septem verba καλῶς — ἐπινοεῖν e Luciano affert grammaticus Hermanni De E. R. G. G. p. 384. ῥιπτεῖν ἴσως Φ. ἴσως ῥιπτεῖν A et v. conjuncta sunt ἴσως δεῖ, uti De Sacrific. c. 7: χρὴ γὰρ ἴσως —. δεῖ] ita conjeci. εἰ δεῖ ΦATUV et man rec E. εἴδει Ω. praesens ex ipso Theognide v. 175, ubi est χρή, restitui deleto tamen isto εἰ, quod e proximis his: εἰ δέ — in codd. male irrepsit. vulgata ἔδει correctoris est, cui superius εἶχε in mente haeserat. πετρέων ipse Theognis v. 176, tum in Luciano libri omnes (diserte ECΦ, solus A μετρέων) et edd. vett. male Solanus πετρῶν scripsit, cui formae illud ὡς φῄς obstat. ceterum eadem Theognidea in Timone c. 26 et Pro Merc. Cond. c. 10 ridentur. οἴεται] σἴεται A. οὐκ οἶδ' ὅπως Dindorfius. libri οὐκ οἶδα πῶς.

6. μισθοφορὰν] μισθοφορίαν Δ solus cum Solano, recte fortassis. καὶ ἐκ EACa et fortassis Ω. καὶ εἰ ἐκ MΔ et fortasse Φ et v. ῥάστου μ. π. μ. π. τ. ἄ. πονοῦσι π. α. τὰ διδόμενα] hoc ordine ΓΕΦΑCΩΜΔ. ῥάστου περιγίγνεται αὐτοῖς τὰ διδόμενα

μηδὲ καμόντα ἕτοιμον ἀργύριον λαβεῖν. τὸ δ' ἐστὶ καὶ
ῥηθῆναι κατ' ἀξίαν ἀδύνατον, ὅσα πονοῦσι καὶ κάμνου-
σιν ἐν ταῖς συνουσίαις· ὥστε πλείονος ἐνταῦθα [καὶ] ἐπὶ
τοῦτο μάλιστα τῆς ὑγιείας δεῖσθαι, μυρίων ὄντων ὁση-
μέραι τῶν ἐπιτριβόντων τὸ σῶμα καὶ πρὸς ἐσχάτην
ἀπόγνωσιν καταπονούντων. λέξομεν δ' αὐτὰ ἐν τῷ προσή-
κοντι καιρῷ, ἐπειδὰν καὶ τὰς ἄλλας αὐτῶν δυσχερείας
διεξίωμεν· τὸ δὲ νῦν εἶναι, ἱκανὸν ἦν ὑποδεῖξαι, ὡς
οὐδ' οἱ διὰ ταύτην λέγοντες αὑτοὺς ἀποδίδοσθαι τὴν
πρόφασιν ἀληθεύοιεν ἄν. 7. λοιπὸν δὴ καὶ ἀληθέστατον
μέν, ἥκιστα δὲ πρὸς αὐτῶν λεγόμενον, ἡδονῆς ἕνεκα
καὶ τῶν πολλῶν καὶ ἀθρόων ἐλπίδων ἐσπηδᾶν αὐτοὺς
ἐς τὰς οἰκίας, καταπλαγέντας μὲν τὸ πλῆθος τοῦ χρυσοῦ
καὶ τοῦ ἀργύρου, εὐδαιμονίσαντας δὲ . . . . ἐπὶ τοῖς
δείπνοις καὶ τῇ ἄλλῃ τρυφῇ, ἐλπίσαντας δ' ὅσον αὐτίκα
χανδὸν οὐδενὸς ἐπιστομίζοντος πίεσθαι τοῦ χρυσίου.
ταῦτα ὑπάγει αὐτοὺς καὶ δούλους ἀντ' ἐλευθέρων τίθη-
662 σιν, οὐχ ἡ τῶν ἀναγκαίων χρεία ἣν ἔφασκον, * ἀλλ' ἡ
τῶν οὐκ ἀναγκαίων ἐπιθυμία καὶ ὁ τῶν πολλῶν καὶ πο-

μὴ πολλὰ μηδὲ πλείω τῶν ἄλλων πονοῦσιν v. γὰρ ἐοικότα ἂν Ω. γὰρ ἂν ἐοικότα ΦAC et v. τὸ δ' ἐστὶ ΦA. τὸ δέ ἐστι v. καὶ ῥηθῆναι Φ (qui pergit καταξίαν) et v. καὶ om A solus. libri τοσαῦτα πονοῦσι. conjeci ὅσα πονοῦσι. simillima in Quaestt. Luc. p. 80 collegi. paullo post ὥστε „ita ut" significat. Bekker τοσαῦτα γὰρ πονοῦσι conjecit, quod ita demum ferri potest, si forte post v. ἀδύνατον aliquid excidit. libri καὶ ἐπί, sed καὶ Benedictus bene delevit. ἐπὶ τοῦτο] ἐπὶ τούτῳ ΩMV. ὑγιείας ΓEAd et fortassis Ω. ὑγείας v. δ' αὐτά] δὲ αὐτὰ ΦA. ὡς οὐδ' οἱ διὰ ταύτην plerique libri praeter X qui: ὡς οὐχ' οἱ διὰ ταύτων (sic). denique Ω οὐδ' om sed superscr. αὑτούς V pro αὐτούς.

7. ἀληθέστατον — λεγόμενον] Thucydides 1, 23 fin: τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ —. ἥκιστα] ἡδονὴ Y. ἐς τάς ΦAΔ et puto Ω. εἰς τάς v. καταπλαγέντας] καταπλαγέντες Ω. ἀργύρου ΦAC et v. ἀργυρίου ΩΔ. εὐδαιμονίσαντας δὲ ΓV et fortasse Φ. εὐδαιμονήσαντας δὲ AC et puto Ω et v. post δὲ signa posui lacunae. exciderunt haec tantum verba: „τὸν πλούσιον", uti docent inferiora c. 16 init: εὐδαιμονίζεις τὸν πλούσιον τοῦ χρυσοῦ. δὲ ἐπὶ] δ' ἐπὶ u. ἐλπίσαντας] ἐλπίσαντες M. δ' ὅσον] δὲ ὅσον ΦA. ἀντ'] ἀντὶ ΦAΩ.

λυτελῶν ἐκείνων ζῆλος. τοιγαροῦν ὥσπερ δυσέρωτας αὐτοὺς καὶ κακοδαίμονας ἐραστὰς ἔντεχνοί τινες καὶ τρίβωνες ἐρώμενοι παραλαβόντες ὑπεροπτικῶς περιέπουσιν, ὅπως ἀεὶ ἐρασθήσονται αὐτῶν θεραπεύοντες, ἀπολαῦσαι δὲ τῶν παιδικῶν ἀλλ' οὐδὲ μέχρι φιλήματος ἄκρου μεταδιδόντες· ἴσασι γὰρ ἐν τῷ τυχεῖν τὴν διάλυσιν τοῦ ἔρωτος γενησομένην. ταύτην οὖν ἀποκλείουσι καὶ ζηλοτύπως φυλάττουσι, τὰ δ' ἄλλα ἐπ' ἐλπίδος ἀεὶ τὸν ἐραστὴν ἔχουσι· δεδίασι γὰρ μὴ αὐτὸν ἡ ἀπόγνωσις ἀπαγάγῃ τῆς ἄγαν ἐπιθυμίας καὶ ἀνέραστος αὐτῶν γένηται· προσμειδιῶσιν οὖν καὶ ὑπισχνοῦνται [ἀεί,] ὡς εὖ ποιήσουσι, καὶ χαριοῦνται καὶ ἐπιμελήσονταί ποτε αὐτῶν πολυτελῶς. εἶτ' ἔλαθον ἄμφω γηράσαν-

---

τῶν οὐκ ἀναγκαίων] οὐκ om Ω. octo verba δυσέρωτας — τινες καὶ om Ω sed in marg. adscr. ὥσπερ δυσέρωτας αὐτούς] cave αὐτούς transponas, quod pronomen eleganter collocatum est, prorsus ut in Aristoph. Nub. v. 258 et Vesp. v. 363, ubi vide Dindorfium ed. Oxon. ἔντεχνοι] ἄτεχνοι vel ἄτεκνοι Γ. τρίβωνες] scholium in C ita incipit: Ἀριστοφάνους ἡ λέξις· caetera habet ut vulgo: σημαίνει — ἐληλακότας. τὰ δ' ἄλλα] τὰ δὲ ἄλλα ΦAC et puto Ω. ἐπ' ἐλπίδος — ἔχουσι] dictio est mihi nusquam lecta, neque alterum exemplum ab Schaefero ad Demosth. II p. 471 allatum est. ἀνέραστος αὐτῶν Ω. ἀνέραστος αὐτοῖς AC et v., quod vitium unde exortum sit, clare docet libri Φ lectio proxima. h. l. ἀνέραστος vim habet activam, ut apud Lucianum quoque saepius. cujus rei oblitus Solanus male scripsit: „debuit esse ἀνέραστοι — γένωνται.“ προσμειδιῶσιν οὖν καὶ] προσμειδιῶσιν οὖν αὐτοῖς καὶ Φ. ὑπισχνοῦνται καὶ ἀεὶ ποιήσουσι ΦACΩ et v. ὑπισχνοῦνται καὶ ἀεὶ ὡς ποιήσουσι VΔ. hinc conjeceram in Quaestt. p. 153: „ὑπισχνοῦνται ἀεί, ὡς ποιήσουσι“, partim recte. at sic quoque ποιήσουσι nimis obscurum est. Bekker scripsit partim recte, partim inepte: „ὑπισχνοῦνται καὶ ἀεὶ εὖ ποιήσουσι, ut εὖ recte adderet. scripserat Lucianus aut ita ut supra edidi: ὑπισχνοῦνται ἀεί, ὡς εὖ ποιήσουσι aut sine vocula ἀεί ita: ὑπισχνοῦνται ὡς εὖ ποιήσουσι. per se quidem aptissimum est ὑπισχνοῦνται ἀεί, quocum comparo D. Meretr. VII, 1: προφάσεις ἀεὶ καὶ ὑποσχέσεις καὶ μακραὶ ἐλπίδες —. ποτε αὐτῶν om ΦAC et v., addunt ΩMV. hoc additamentum in Quaestt. p. 153 jure probavi. forsitan aliquis αὐτοῦ pro αὐτῶν exspectet. at sequitur de iisdem etiam pluralis: πέπρανται δ' οὖν αὐτοῖς —. πολυτελῶς ΩMV. πολυτελῶν AC

663 τες, ἔξωροι * γενόμενοι καὶ οὗτος τοῦ ἐρᾶν κἀκεῖνος τοῦ
μεταδιδόναι. πέπρακται δ' οὖν αὐτοῖς οὐδὲν ἐν ἅπαντι
τῷ βίῳ πέρα τῆς ἐλπίδος. 8. τὸ μὲν δὴ δι' ἡδονῆς
ἐπιθυμίαν ἅπαντα ὑπομένειν, οὐ πάνυ ἴσως ὑπαίτιον,
ἀλλὰ συγγνώμη, εἴ τις ἡδονῇ χαίρει καὶ τοῦτο ἐξ ἅπαν-
τος θεραπεύει, ὅπως μεθέξει αὐτῆς. καίτοι αἰσχρὸν ἴσως
καὶ ἀνδραποδῶδες ἀποδόσθαι διὰ ταύτην ἑαυτόν· πολὺ
γὰρ ἡδίων ἡ ἐκ τῆς ἐλευθερίας ἡδονή. ὅμως δ' οὖν
ἐχέτω τινὰ συγγνώμην αὐτοῖς, εἰ ἐπιτυγχάνοιτο· τὸ δὲ
δι' ἡδονῆς ἐλπίδα μονον πολλὰς ἀηδίας ὑπομένειν γε-
λοῖον, οἶμαι, καὶ ἀνόητον, καὶ ταῦθ' ὁρῶντας, ὡς οἱ
μὲν πόνοι σαφεῖς καὶ πρόδηλοι καὶ ἀναγκαῖοι, τὸ δ' ἐλ-
πιζόμενον ἐκεῖνο, ὅ τι δή ποτέ ἐστι τὸ ἡδύ, οὔτε ἐγένε-
664 τό πω τοσούτου χρόνου, προσέτι δὲ οὐδὲ * γενήσεσθαι
ἔοικεν, εἴ τις ἐκ τῆς ἀληθείας λογίζοιτο. οἱ μέν γε τοῦ
Ὀδυσσέως ἑταῖροι γλυκύν τινα τὸν λωτὸν ἐσθίοντες
ἠμέλουν τῶν ἄλλων καὶ πρὸς τὸ παρὸν ἡδὺ τῶν καλῶς

---

et v. ἄμφω ΕΦΑCΩΤUa. ἄφνω pleraeque edd. et V. γηράσαντες frustra delet Cobetus V. L. p. 296.

8. ἐπιθυμίαν] καὶ ἐπιθυμίαν Δ. ὑπαίτιον libri. at Lucianus more suo ἐπαίτιον scripsisse videtur, quae ap. Xenoph. Anab. III, 1, 5 et alibi in codd. confusa sunt. καὶ ταύτην ἐξ ἅπαντος libri plerique inepte, sed p m Φ: καὶ τούτων ἐξάπαντος (sic) et supra alia demum manu ταύτην. hinc certo correxi: καὶ τοῦτο ἐξ ἅπαντος —. quum caeteri, tum maxime Gesner obliti sunt, atticos θεραπεύω ὅπως („operam do, ut") saepius dixisse, ut paullo ante c. 7. αὐτοῖς] αὐτῆς U. τὸ δὲ] τότε τὸ δὲ Δ, qua lectione in Quaestt. p. 2 abusus sum. paullo melius partim ex U conjecissem: συγγνώμην, εἰ ἐπιτυγχάνοιεν αὐτῆς· τὸ δὲ —. at hodie vulgatam, quae est etiam in ΦΑCΩ, ita tueor ut ἐπιτυγχάνοιτο passive dictum sit. cum αὐτοῖς dativo Reitzius Piscatt. c. 26 bene comparavit. decem verba τὸ δὲ — γελοῖον o Luciano affert grammaticus Hermanni l. l. p. 384. δι' ἡδονῆς ἐλπίδα μόνον libri et grammaticus Hermanni. et Graevius quidem μόνην pro μόνον conjecit: ego vero potius haec ita transposuerim: δι' ἐλπίδα ἡδονῆς μόνον. καὶ ταῦθ'] καὶ ταῦτα ΦΑCΩ. τὸ δ'] τὸ δὲ ΦΑCΩ. ἐγένετό πω] ἐγένετό που Α et si recte lego Φ. γενήσεσθαι ἔοικεν] γενέσθαι ἔοικεν Ω. οἱ μέν γε] οἱ μέντοι γε ΩΜ male. ὥστε οὐ πάντῃ ἄλογος libri. at ἦν deesse nequit.

ἐχόντων κατεφρόνουν· ὥστε οὐ πάνυ τι ἦν ἄλογος αὐτῶν ἡ λήθη τοῦ καλοῦ πρὸς τῷ ἥδει ἐκείνῳ τῆς ψυχῆς διατριβούσης. τὸ δὲ λιμῷ αὐτὸν ξυνόντα παρεστῶτα ἄλλῳ τοῦ λωτοῦ ἐμφορουμένῳ μηδὲν μεταδιδόντι, ὑπ' ἐλπίδος μόνης τοῦ κἂν παραγεύσασθαι αὐτὸν ἀποδίδοσθαι τῶν καλῶς καὶ ὀρθῶς ἐχόντων ἐπιλελησμένον, Ἡράκλεις, ὡς καταγέλαστον καὶ πληγῶν τινων Ὁμηρικῶν

---

hinc correxi: ὥστε οὐ πάνυ τι ἦν ἄλογος —. eadem prorsus verborum collocatio est in Necyomant. c. 15: τὸ μέντοι διαγιγνώσκειν ἕκαστον οὐ πάνυ τι ἦν ῥᾴδιον. de conjunctis οὐ πάνυ τι ad Gallum c. 24 aliquid dixi. πρὸς τῷ ἥδει ἐκείνῳ ΓΕΦΩΜ. πρὸς τὸ ἡδὺ ἐκεῖνο AC et v. περὶ τὸ ἡδὺ ἐκεῖνο Υ. λιμῷ ξυνόντα libri plerique et v. λιμῷ αὐτὸν ἐχόμενον Δ. λιμῷ αὐτὸν ξυνόντα tacito correxi in Quaestt. p. 16 et recte quidem. ὑπ' ἐλπίδος] ὑπὸ ἐλπίδος A. erravi in Quaestt. p. 139. κἂν] καὶ Δ solus. post κἂν plerique libri (ΓΕΦACTV). continuo: αὐτὸν παραγεύσασθαί ποτε δεδόσθαι, sed pro δεδόσθαι a d: δεδέσθαι et sic fortassis (?) Ω, denique Υ habet: ἀποδεδόσθαι (omisso ποτέ). et in Quaestt. quidem p. 16 δεδέσθαι Solano duce recepi, alludi ratus ad Homeri narrationem Od. ι', 99: ὑπὸ ζυγὰ δῆσα —. at isto modo (praeterquam quod δεδέσθαι non est conductum esse sed vinctum) αὐτὸν contra libros omnes delendum est: neque enim haec verba κἂν παραγεύσασθαι dirimere licet. itaque aut ita conjicio (deleto hic quidem isto αὐτόν, quod paullo ante ipse inserui): τοῦ κἂν παραγεύσασθαί ποτε, δεδέσθαι, aut id quod malim sic: τοῦ κἂν παραγεύσασθαι, αὐτὸν ἀποδίδοσθαι. nam mercenarii illi philosophi „semet ipsos vendidisse" dicuntur supra c. 6 fin: αὐτοὺς ἀποδίδοσθαι, c. 8 init: ἀποδόσθαι διὰ ταύτην ἑαυτὸν, c. 23: σαυτὸν ἀπεμπολήσας, c. 24: σεαυτὸν — ἀπημπόληκας, c. 23 fin: ἑαυτὸν ἀποκηρύξαντα. πληγῶν τινων Ὁμηρικῶν] Ptolemaeus ὁ Ἐπιθέτης, grammaticus Suida s. Πτολεμαῖος γρ. teste librum quendam scripserat „περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν", ubi vocem πληγῶν vix pro sana habebat Bernhardius immemor ille Luciani. recte ad h. l. Solanus de titulo ipso nihil dubitavit, falsus ille in eo tantum, quod ei Lucianus videbatur ad Ptolemaei librum alludere. immo Lucianus certe ad ipsius Homeri locum unice alludit, quem locum Gesner aliique multi in Od. ι', 98 frustra quaesiverunt, ego autem jam in Quaestt. p. 16 recte inveneram dixeramque haec ad Il. β', 199 et ibid. v. 266 referenda esse. etenim ut ex Eustathio atque e scholiis Venetis Lipsiacisque patet, grammatici hoc utroque Homeri loco vehementer offensi de his ipsis Ulixis plagis diu ac multum disputarant. Athenienses

ὡς ἀληθῶς δεόμενον. 9. *τὰ μὲν τοίνυν πρὸς τὰς ξυν-
ουσίας αὐτοὺς ἄγοντα καὶ ἀφ' ὧν αὐτοὺς φέροντες ἐπι-
τρέπουσι τοῖς πλουσίοις χρῆσθαι [πρὸς] ὅ τι ἂν ἐθέλωσι,
ταῦτά ἐστιν ἢ ὅτι ἐγγύτατα τούτων. πλὴν εἰ μὴ κἀκεί-
νων τις μεμνῆσθαι ἀξιώσειεν τῶν καὶ μόνῃ τῇ δόξῃ
ἐπαιρομένων τοῦ ξυνεῖναι εὐπατρίδαις τε καὶ εὐπαρύφοις
ἀνδράσιν· εἰσὶ γὰρ οἳ καὶ τοῦτο περίβλεπτον καὶ ὑπὲρ*
665 *τοὺς πολλοὺς νομίζουσιν. ὡς ἔγωγε, τοὐμὸν ἴδιον,* * *οὐδὲ
βασιλεῖ τῷ μεγάλῳ αὐτὸ μόνον συνεῖναι καὶ συνὼν ὁρᾶ-
σθαι μηδὲν χρηστὸν ἀπολαύων τῆς ξυνουσίας δεξαίμην
ἄν.* 10. *τοιαύτης δὲ αὐτοῖς τῆς ὑποθέσεως οὔσης, φέρε
ἤδη πρὸς ἡμᾶς αὐτοὺς ἐπισκοπήσωμεν, οἷα μὲν πρὸ
τοῦ εἰσδεχθῆναι καὶ τυχεῖν ὑπομένουσιν, οἷα δ' ἐν αὐ-
τῷ ἤδη ὄντες πάσχουσιν, ἐπὶ πᾶσι δέ, ἥτις αὐτοῖς ἡ
καταστροφὴ τοῦ δράματος γίγνεται. οὐ γὰρ δὴ ἐκεῖνό γε
εἰπεῖν ἔστιν, ὡς εἰ καὶ πονηρὰ ταῦτα, εὔληπτα γοῦν καὶ
οὐ πολλοῦ δεῖ σοι τοῦ πόνου, ἀλλὰ θελῆσαι δεῖ μόνον,*

---

enim *νόμῳ ὕβρεως* lato caverunt, ne quis civem pulsaret omnino-que in Graecia si libero verbera illata essent, facti ratio reddenda erat, ut Xenophonti in milites verberibus uso Anabas. V, 8 § 1 — 26. contra Homerus secundo Iliadis hoc ipsum poenae genus defendisse atque adeo sanxisse videbatur.

9. *ἀφ' ὧν αὐτοὺς* VΦ cum Reitzio. *ἀφ' ὧν αὐτοὺς* A et v. *φέροντες*] *ἐπιφέροντες* Φ. *χρῆσθαι πρὸς ὅ τι ἂν ἐθέλωσι*] *πρὸς* delet Cobetus V. L. p. 239 et p. 272, recte ut opinor. vide pauca de multis apud Valckenarium Adnot. in Phalarid. p. XXII ed. Lenn. (p. XXV Lips.). rarum est in tali l. etiam *ἐθέλωσι* pro vulgari *βούλωνται*. *ταῦτα — τούτων*] dictione utitur Thucydides V, 74: *καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο —*. *ἀξιώσειεν* A. *ἀξιώσεις* v. *ὡς ἔγωγε τοὐμὸν ἴδιον*] libri. at opus est oppositione. hinc corrigo: *ἐγὼ δέ, ὡς* (sive *ὥς γε*) *τοὐμὸν ἴδιον —*. et *ὡς* quidem vim habet restringendi ut in formulis *ὡς ἐμῇ δόξῃ, ὥς γ' ἐμοὶ* aliis. tum absoluto ponuntur *τὸ δ' ἐμὸν* D. Deor. XX, 7 fin. et alibi *τό γ' ἐμόν*. postremo de addito *ἴδιον* vide Schaeferum ad Demosth. V p. 396. *αὐτὸ μόνον* Φ et v. *αὐτοῦ μόνον* A. *αὐτῷ μόνῳ* ΩMΔ.

10. *δ' ἐν*] *δὲ ἐν* ΦA et fortasse CΩ. *ἐν αὐτῷ*] id est, *ἐν τῷ τυχεῖν*. *ἐπὶ πᾶσι δὲ* EΦACΩ et fortasse MΔ. *ἐπὶ πᾶσι δὴ* edd. vett. *γίγνεται*] *γίνεται* Φ. *δεῖ σοι*] ita correxi. libri *δεήσει* futuro nimis inepto. *ἀλλὰ θελῆσαι*] bene Dindorfius: *ἀλλ' ἐθε-*

εἶτά σοι πέπρακται τὸ πᾶν εὐμαρῶς· ἀλλὰ πολλῆς μὲν
τῆς διαδρομῆς δεῖ, συνεχοῦς δὲ τῆς θυραυλίας, ἕωθέν
τε ἐξανιστάμενον περιμένειν ὠθούμενον καὶ ἀποκλειό-
μενον καὶ ἀναίσχυντον ἐνίοτε καὶ ὀχληρὸν δοκοῦντα καὶ
ὑπὸ θυρωρῷ κακῶς συρίζοντι καὶ ὀνομακλήτορι Λιβυκῷ
ταττόμενον καὶ μισθὸν τελοῦντα τῆς μνήμης τοῦ ὀνό-
ματος. καὶ μὴν καὶ ἐσθῆτος ὑπὲρ τὴν ὑπάρχουσαν δύ-
ναμιν ἐπιμεληθῆναι χρὴ πρὸς τὸ τοῦ θεραπευομένου
* ἀξίωμα καὶ χρώματα αἱρεῖσθαι, οἷς ἂν ἐκεῖνος ἥδηται, 666
ὡς μὴ ἀπάδῃς μηδὲ προσκρούῃς βλεπόμενος, καὶ φιλο-
πόνως ἕπεσθαι, μᾶλλον δὲ ἡγεῖσθαι ὑπὸ τῶν οἰκετῶν
προωθούμενον καὶ ὥσπερ τινὰ πομπὴν ἀναπληροῦντα.
ὁ δὲ οὐδὲ προσβλέπει πολλῶν ἑξῆς ἡμερῶν. 11. ἢν δέ
ποτε καὶ τὰ ἄριστα πράξῃς, καὶ ἴδῃ σε καὶ προσκαλέσας
ἔρηταί τι ὧν ἂν τύχῃ, τότε δὴ τότε πολὺς μὲν ὁ ἱδρώς, ἀθρόος
δὲ ὁ ἴλιγγος καὶ τρόμος, καὶ ἄκαιρος γέλως τῶν παρόν-
των ἐπὶ τῇ ἀπορίᾳ· καὶ πολλάκις ἀποκρίνασθαι δέον,

λῆσαι. εὐμαρῶς] εὐμερῶς A. δεῖ addidi ex uno M. Urbanus haud improbante G. Hermanno δεῖ ita transponebat: πολλῆς μὲν τῆς διαδρομῆς, συνεχοῦς δὲ δεῖ τῆς θυρ. συνεχοῦς δὲ τῆς θ.] Benedictus: συνεχοῦς καὶ τῆς. voluit: συνεχοῦς δὲ καὶ τῆς, quod fortasse verum est. ἀποκλειόμενον] περικλειόμενον Ω. καὶ ὑπὸ Φ. ὑπὸ caeteri et v. ὀνομακλήτορι fortasse ΦΩ. ὄνομα κλήτορι A et edd. vett. τελοῦντα] τελοῦντι U, in quo videri potest „τελοῦντα ἀντὶ“ latere. vide Hermotim. c. 83 fin. ὑπὲρ τ. ὑ. δύναμιν] Hyperides Pro Lycophr. p. 31 Caes: παρὰ δύναμιν καὶ ὑπὲρ τὴν οὐσίαν τὴν ἐμαυτοῦ. πομπὴν ΦAC et v. προπομπὴν ΩMΔ, quod non probandum, quamvis speciose Lehmannus infra c. 25: τοῖς προϊοῦσι καὶ προπομπεύουσιν αὐτοῦ contulerit. tum Lucianus dixisset ut opinor „προπομπείαν“.

11. καὶ τὰ ἄριστα] articulum delet Cobetus V. L. p. 239. πράξῃς] πράξεις A. προσκαλέσας ἔρηταί τι ACΩΔ et edd. vett. προσκαλέσεταί τι E. εἴρηται vitium Reitzianae. τύχῃ] τύχοι AC. libri καὶ τρόμος ἄκαιρος καὶ γέλως. epitheta de uno posita sibi invicem bene respondere debant, variare autem possunt de diversis posita, ita ut Jacobsius Append. ad Pors. Advers. p. 291 unus in hoc l. optime haeserit. ego nihil aliud quam καὶ transposui: — ὁ ἴλιγγος καὶ τρόμος, καὶ ἄκαιρος γέλως —. vide (Menandri) Γνώμ. μονοστ. v. 88 (p. 342 ed. Mein.): Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν. ὅτι χίλιαι v. ἤ. αὐτοῖς λέγεις]

τίς ἦν ὁ βασιλεὺς τῶν Ἀχαιῶν, ὅτι χίλιαι νῆες ἦσαν
αὐτοῖς, λέγεις. τοῦτο οἱ μὲν χρηστοὶ αἰδῶ ἐκάλεσαν, οἱ
δὲ τολμηροὶ δειλίαν, οἱ δὲ κακοήθεις ἀπαιδευσίαν. σὺ
δ' οὖν ἐπισφαλεστάτης πειραθεὶς τῆς πρώτης φιλοφρο-
σύνης ἀπῆλθες καταδικάσας σεαυτοῦ πολλὴν τὴν ἀπό-
γνωσιν. ἐπειδὰν δὲ „πολλὰς μὲν ἀΰπνους νύκτας ἰαύσῃς,
ἤματα δ' αἱματόεντα“ διαγάγῃς, οὐ μὰ Δία τῆς Ἑλένης
ἕνεκα οὐδὲ τῶν Πριάμου Περγάμων, ἀλλὰ τῶν ἐλπιζο-
μένων πέντε ὀβολῶν, τύχης δὲ καὶ τραγικοῦ τινος θεοῦ
συνιστάντος, ἐξέτασις τοὐντεῦθεν, εἰ οἶσθα τὰ μαθή-
ματα· καὶ τῷ μὲν πλουσίῳ ἡ διατριβὴ οὐκ ἀηδὴς ἐπαι-
667 νουμένῳ καὶ εὐδαιμονιζομένῳ, * σοὶ δὲ ὁ ὑπὲρ τῆς
ψυχῆς ἀγὼν καὶ ὑπὲρ ἅπαντος τοῦ βίου τότε προκεῖσθαι
δοκεῖ· ὑπεισέρχεται γὰρ εἰκότως τὸ μηδ' ὑπ' ἄλλου ἂν
καταδεχθῆναι πρὸς τοῦ προτέρου ἀποβληθέντα καὶ
δόξαντα εἶναι ἀδόκιμον. ἀνάγκη τοίνυν ἐς μυρία διαιρε-
θῆναι τότε, τοῖς μὲν ἀντεξεταζομένοις φθονοῦντα, (τίθει
γὰρ καὶ ἄλλους εἶναι τῶν αὐτῶν ἀντιποιουμένους) αὐτὸν
δὲ πάντα ἐνδεῶς εἰρηκέναι νομίζοντα, φοβούμενον δὲ
καὶ ἐλπίζοντα καὶ πρὸς τὸ ἐκείνου πρόσωπον ἀτενίζοντα
καὶ εἰ μὲν ἐκφαυλίζοι τι τῶν λεγομένων, ἀπολλύμενον,
εἰ δὲ μειδιῶν ἀκούοι, γεγηθότα καὶ εὔελπιν καθιστά-
μενον. **12.** εἰκὸς δὲ πολλοὺς εἶναι τοὺς ἐναντία σοι φρο-
νοῦντας καὶ ἄλλους ἀντὶ σοῦ τιθεμένους, ὧν ὥσπερ ἐκ
λόχου ἕκαστος τοξεύων λέληθεν. εἶτ' ἐννόησον ἄνδρα ἐν
βαθεῖ πώγωνι καὶ πολιᾷ τῇ κόμῃ ἐξεταζόμενον, εἴ τι
οἶδεν ὠφέλιμον, καὶ τοῖς μὲν δοκοῦντα εἰδέναι, τοῖς δὲ

---

malim hic ὅτε pro ὅτι scribere et vocem χίλιαι bis ponere: ὅτε χίλιαι νῆες ἦσαν αὐτοῖς, „χίλιαι“ λέγεις. λέγεις] ει in litura in A. πολλὰς — αἱματόεντα] Iliad. ι, 325 sq. ἰαύσῃς edd. recentes et fortassis Ω. ἰαύσῃς a. ἰαύῃς EACMΔ. ἰαύεις Φ. Themistius quoque XXVI p. 377 ed. Dind. eundem Homeri l. sic imitatur, ut ἰαύσας aoristum suffecerit. ὑπὲρ ἅπαντος] ὑπεράπαντος A. προκεῖσθαι δοκεῖ] προκεῖσθαι δεῖ Φ. ἐς μυρία διαιρεθῆναι] διαιρεθῆναι εἰς μυρία Ω. αὐτὸν δὲ] αὐτὸν δὲ V. ἀκούοι ΓΕΦΑCΩ et fortasse MΔ. ἀκούει edd. vett.

12. ἀντὶ σοῦ] ἀντὶ τοῦ A. ὧν ὥσπερ ἐκ λόχου ἕκαστος Φ. ὧν ἕκαστος ὥσπερ ἐκ λόχου A et v. λόγου pro λόχου errore Rei-

μή. μέσος ἐν τοσούτῳ χρόνος. καὶ πολυπραγμονεῖταί
σου ἅπας ὁ παρεληλυθὼς βίος, κἂν μέν τις ἢ πολίτης
ὑπὸ φθόνου ἢ γείτων ἔκ τινος εὐτελοῦς αἰτίας προσκε-
κρουκὼς ἀνακρινόμενος εἴπῃ μοιχὸν ἢ παιδεραστὴν,
τοῦτ' ἐκεῖνο, ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς. ἢν δὲ πάν-
τες ἅμα ἐπαινῶσιν, ἑξῆς [πάντες] ὕποπτοι καὶ ἀμφίβολοι
καὶ δεδεκασμένοι. χρὴ τοίνυν πολλὰ * εὐτυχῆσαι καὶ 668
μηδὲν ὅλως ἐναντιωθῆναι· μόνως γὰρ ἂν οὕτω κρατή-
σειας. εἶεν, καὶ δὴ εὐτύχηταί σοι πάντα εὐχῆς μειζόνως.
αὐτός τε γὰρ ἐπῄνεσε τοὺς λόγους καὶ τῶν φίλων οἱ
ἐντιμότατοι καὶ οἷς μάλιστα πιστεύει τὰ τοιαῦτα, οὐκ
ἀπέτρεψαν. ἔτι δὲ καὶ ἡ γυνὴ βούλεται, οὐκ ἀντιλέγει
δὲ οὔτε ὁ ἐπίτροπος οὔτε ὁ οἰκονόμος· οὐδέ τις ἐμέμ-

---

tziana. μέσος ἐν τοσ. χρ., καὶ πολυπρ.] dubitanter suppleo et transpono: τοῖς δὲ μή. [πολὺς δ' ὁ] μέσος χρόνος, καὶ ἐν τοσούτῳ πολυπρ. vide Alexandrum c. 51: πολὺς ὁ ἐν μέσῳ χρόνος ἦν —, ὡς ἐν τοσούτῳ κατὰ σχολὴν λύοιντο κ. τ. ἑ., Timonem c. 10, Navig. c. 33. κἂν μέν τις — ὁ μάρτυς] partim e Luciano affert, sed mendose Arsenius in Paroemiogr. T. II p. 381 ed. Leutsch.

ἢ πολίτης ὑπὸ φθόνου ἢ] ἢ πολίτης, ἢ ὑπὸ φθόνου ἢ Φ. ἢν δὲ AC. ἐὰν δὲ Ω. ἂν δὲ v. πάντες ἅμα ἐπαινῶσιν, ἑξῆς πάντες ὕποπτοι] ita conjeci. ἐπαινῶσιν ἅμα ἑξῆς ὕποπτοι (omisso πάντες) Ω. πάντες ἅμα ἑξῆς ἐπαινῶσιν, ὕποπτοι A et v. at ἅμα ἑξῆς, quae notiones inter se pugnant, conjungi nequeunt. meae correctioni similia haec sunt Philemonis ap. Stobaeum Floril. II, 27: ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι, | δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί. δεδεκασμένοι] δεδικασμένοι AC. μόλις Y. μόνως A et v. illud prius olim probavi ut et rei conveniens et Lucianeum. vide inprimis D. Mort. X, 1; Hermotim. c. 45; De Domo c. 32. at hodie μόνως tueor collato Galeno VIII, 43 Chart: μόνως γὰρ ἂν οὕτως συνίεμεν αὐτοῦ. οὕτω] οὕτως ΦA. εὐτύχηται] ηὐτύχηταί Lehmannus. πάντα εὐχῆς μειζόνως] ita et ego et Cobetus V. L. p. 239 correximus auctore Solano, qui tamen non sine inepto articulo scripserat: πάντα τῆς εὐχῆς μειζόνως. vide nostri Herodotum c. 1 et intpp. Gregorii Corinthii p. 133. libri sic: πάντα εὐτυχῆς μειζόνως pr m E. πάντα εὐτυχεῖς μειζόνως ΓACV (ita CV, qui interpungunt post πάντα) ΩT et sec m E. πάντα εὐτύχεις μειζόνως MY. πάντα εὐτυχεῖν μειζόνως Δ. πάντα τυχεῖς μειζόνως U. πάντα ἐκ τύχης μείζονος edd. vett. et correctus Φ, ubi pr m habuit μειζόνως. δὲ οὔτε ΓΕΦΑCΩΜΔ. δὲ οὐδὲ (vel οὐ δὲ) edd. vett. ceterum Vaticani Γ collatio jam nunc desinit.

ψατό σου τὸν βίον, ἀλλὰ πάντα ἵλεω καὶ πανταχόθεν
αἴσια τὰ ἱερά. 13. κεκράτηκας οὖν, ὦ μακάριε, καὶ
ἔστεψαι τὰ Ὀλύμπια, μᾶλλον δὲ Βαβυλῶνα εἴληφας ἢ
τὴν Σάρδεων ἀκρόπολιν καθῄρηκας καὶ ἕξεις τὸ τῆς
Ἀμαλθείας κέρας καὶ ἀμέλξεις ὀρνίθων γάλα. ἔδει δή
σοι ἀντὶ τῶν τοσούτων πόνων μέγιστα ἡλίκα γενέσθαι
τἀγαθὰ, ἵνα μὴ φύλλινος μόνον ὁ στέφανος ᾖ, καὶ τόν
τε μισθὸν οὐκ εὐκαταφρόνητον ὁρισθῆναι καὶ τοῦτον ἐν
καιρῷ τῆς χρείας ἀπραγμόνως ἀποδίδοσθαι καὶ τὴν ἄλ-
λην τιμὴν ὑπὲρ τοὺς πολλοὺς ὑπάρχειν, πόνων δὲ ἐκεί-
νων καὶ πηλοῦ καὶ δρόμων καὶ ἀγρυπνιῶν ἀναπεπαῦ-
669 σθαι, καὶ τοῦτο δὴ * τ᾽ τῆς εὐχῆς, ἀποτείναντα τὼ
πόδε καθεύδειν, μόνα ἐκεῖνα πράττοντα, ὧν ἕνεκα τὴν
ἀρχὴν παρελήφθης καὶ ὧν ἔμμισθος εἶ. ἐχρῆν μὲν οὕ-
τως, ὦ Τιμόκλεις, καὶ οὐδὲν ἂν ἦν μέγα κακὸν, ὑπο-
κύψαντα φέρειν τὸν ζυγὸν ἐλαφρόν τε καὶ εὔφορον καὶ τὸ
μέγιστον, ἐπίχρυσον ὄντα. ἀλλὰ πολλοῦ, μᾶλλον δὲ τοῦ παν-
τὸς δεῖ· μυρία γάρ ἐστιν ἀφόρητα ἐλευθέρῳ ἀνδρὶ ἐν αὐταῖς
ἤδη ταῖς συνουσίαις γιγνόμενα. σκέψαι δ᾽ αὐτὸς ἑξῆς
ἀκούων, εἴ τις ἂν αὐτὰ ὑπομεῖναι δύναιτο παιδείᾳ κἂν
ἐπ᾽ ἐλάχιστον ὡμιληκώς. 14. ἄρξομαι δ᾽ ἀπὸ τοῦ πρώ-

ὁ ἐπίτροπος] in Reitziana errore hic omissum ὁ et mox scriptum ἐπέμψατο pro ἐμέμψατο. οὔτε ὁ οἰκονόμος] haec om Ω. ἵλεω] ἴλθω A.

13. καὶ ἕξεις — γάλα] haec articulis τὸ τῆς omissis affert grammaticus Bachmanni in Aneed. II p. 339. Ἀμαλθείας] ἀμαλθίας A. ὀρνίθων γάλα] scholium Vossianum totidem verbis habent et grammaticus Bachmanni l. l. et vero (in quo male legitur: — λεγομένη τῶν ὀρνίθων γάλα) codex C. ἔδει δή σοι] ita correxi. libri δεῖ δή σοι, sed praesenti repugnant inferiora: ἐχρῆν μὲν οὕτως. ἀντὶ τῶν τοσούτων πόνων AC et v. ἀντὶ τοσούτων πόνων Φ. ἀντὶ τῶν μεγίστων πόνων Ω. μόνον] μόνος c. ἀποδίδοσθαι] ἀποδέδοσθαι A. πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς δεῖ] haec locutio videri posset e Demosthene sumta esse, nisi etiam Aeschylus in Prometh. v. 965 scripsisset: πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. adde mea ad l. De Conscr. Hist. c. 34 p. 82. δ᾽ αὐτὸς] δὲ αὐτὸς A. σκέψαι δ᾽ αὐτὸς ἑξῆς ἀκούων] suppleo: σκέψαι δ᾽ αὐτὸς ἑξῆς ἕκαστα ἀκούων. vide praeter alia D. Mort. XXVI, 1: τὰ γιγνόμενα ἅπαντα ἑξῆς ἕκαστον —.

του δείπνου, ἣν δοκῇ, ὅ σε εἰκὸς δειπνήσειν τὰ προτέλεια τῆς μελλούσης ξυνουσίας. εὐθὺς οὖν πρόσεισι παραγγέλλων τις ἥκειν ἐπὶ τὸ δεῖπνον, οὐκ ἀνομίλητος οἰκέτης, ὃν χρὴ πρῶτον ἵλεων ποιήσασθαι, παραβύσαντα ἐς τὴν χεῖρα, ὡς μὴ ἀδέξιος εἶναι δοκῇς, τοὐλάχιστον πέντε δραχμάς· ὁ δὲ ἀκκισάμενος καὶ, ἄπαγε, παρὰ σοῦ
δὲ ἐγώ; καὶ, Ἡράκλεις μὴ * γένοιτο ὑπειπὼν τέλος ἐπεί- 670
σθη, καὶ ἄπεισί σοι πλατὺ ἐγχανών. σὺ δ' ἐσθῆτα καθαρὰν προχειρισάμενος, καὶ σεαυτὸν ὡς κοσμιώτατα σχηματίσας λουσάμενος ἥκεις δεδιὼς, μὴ πρὸ τῶν ἄλλων ἀφίκοιο· ἀπειρόκαλον γὰρ, ὥσπερ καὶ τὸ ὕστατον ἥκειν φορτικόν. αὐτὸ οὖν τηρήσας τὸ μέσον τοῦ καιροῦ εἰσελήλυθας, καί σε πάνυ ἐντίμως ἐδέξατο, καὶ παραλαβών τις κατέκλινε μικρὸν ὑπὲρ τοῦ πλουσίου μετὰ δύο που σχεδὸν τῶν παλαιῶν φίλων. 15. σὺ δ' ὥσπερ ἐς τοῦ Διὸς τὸν οἶκον παρελθὼν πάντα τεθαύμακας καὶ ἐφ' ἑκάστῳ τῶν πραττομένων μετέωρος εἶ· ξένα γάρ σοι καὶ ἄγνωστα πάντα. καὶ ἥ τε οἰκετεία εἰς σὲ ἀποβλέπει καὶ τῶν παρόντων ἕκαστος ὅ τι πράξεις ἐπιτηροῦσιν, οὐδ' αὐτῷ δὲ ἀμελὲς τῷ πλουσίῳ τοῦτο, ἀλλὰ καὶ προεῖπέ τισι τῶν οἰκετῶν ἐπισκοπεῖν, εἴ πως ἐς τοὺς παῖδας ἢ

---

14. δ' ἀπὸ] δὲ ἀπὸ ΦA et fortassis Ω. παραγγέλλων] παραγγέλων A. πρῶτον ΦACΩΔ. πρότερον v. ἐς] εἰς Φ. χεῖρα] χεῖραν A. δοκῇς ΕΦACΩ et fortasse MΔ. δοκεῖς edd. vett. ὑπειπὼν ΕAΩMΔ. ἐπειπὼν v. οὐ δ'] οὐ δὲ ΦACΩ. ὡς κοσμιώτατα ΕΦACΩ et fortasse MΔ. vulgo ὡς abest. δεδιὼς, μὴ] δεδιὼς εἰ μὴ T. ἀφίκοιο] optativum non intelligo. αὐτὸ οὖν] αὐτὸ γοῦν Δ. ἐδέξατο ΦΔ (scil. ὁ πλούσιος). ἐδέξαντο A et v. παραλαβών] παραβὼν A. ὑπὲρ τοῦ πλουσίου] Solanus: ὑπὸ τὸν πλούσιον mavult, ut in nostri Convivio c. 9 exstat.

15. ὥσπερ ἐς] εἰς addidit Cornës ad Heliodorum p. 84. ἄγνωστα πάντα] πάντα om Ω. οἰκετεία AC (ita C) et v. οἰκετ^ε^ία Φ (sic). οἰκετία ΕΩ. οἰκία Δ. εἰς σὲ] εἰσὶ A. ἐς σὲ a. τῶν παρόντων] τὸν παρόντων A. οὐδ' αὐτῷ] οὐδὲ αὐτῷ A et fortassis Ω. οὐδὲ αὐτὸ Φ. ἐπισκοπεῖν, εἴ πως] ita olim correxi in Epist. Crit. p. XL. libri ἐπισκοπεῖν, ὅπως. non bene Dindorfius ὅπως delet servans deinceps vulgatam γυναῖκα εἰ. γυναῖκα πολλάκις V. γυναῖκα εἰ πολλάκις plerique libri et v. frustra con-

*ἐς τὴν γυναῖκα πολλάκις ἐκ περιωπῆς ἀποβλέψεις. οἱ
μὲν γὰρ τῶν συνδείπνων ἀκόλουθοι ὁρῶντες ἐκπεπληγ-
μένον ἐς τὴν ἀπειρίαν ἀποσκώπτουσιν, ἀπὸ τῶν δρω-
μένων τεκμήριον ποιούμενοι τοῦ μὴ παρ' ἄλλῳ πρότε-
ρόν σε δεδειπνηκέναι καὶ τὸ καινὸν εἶναί σοι τὸ χειρό-*
671 *μακτρον * προτιθέμενοι. ὥσπερ οὖν εἰκὸς, ἰδίειν τε
ἀνάγκη ὑπ' ἀπορίας καὶ μήτε διψῶντα πιεῖν αἰτεῖν τολ-
μᾶν, μὴ δόξῃς οἰνόφλυξ τις εἶναι, μήτε τῶν ὄψων πα-
ρατεθέντων πρός τινα τάξιν καὶ ποικίλων ἐσκευασμένων
εἰδέναι ἐφ' ὅ τι πρῶτον ἢ δεύτερον τὴν χεῖρα ἐνέγκῃς·*

---

jecimus Theod. Marcilius: *ἢ εἰς παλλακάς* egoque: *ἢ παλλακίδας.* nam *πολλάκις* ad sententiam aptum est. *ἐκ περιωπῆς* om T solus. libri: *ἐς τὴν ἀπειρίαν τῶν δρωμένων ἀποσκώπτουσι*, praeter *Φ*, qui: *ἐς τὴν ἀπειρίαν τῶν δρομένων προσκώπτουσι.* pro his correxi: *ἐς τὴν ἀπειρίαν ἀποσκώπτουσιν, ἀπὸ τῶν δρωμένων —.* nam isthuc quidem perinepte dictum est, *τὴν ἀπειρίαν τῶν δρωμένων* pro *τῶν ποιητέων.* sed absolute hic ponitur *ἐς τὴν ἀπειρίαν*, ut saepe in dictione *ὑπ' ἀπειρίας.* *καὶ τὸ καινὸν* AC et v. *καὶ* om *ΦΩ*a et pm E. *σοι τὸ*] *σοι καὶ τὸ* d. *χειρόμακτρον*] *χειρώμακτρον* A. *προτιθέμενοι*] ita correxi. *τιθέμενοι* EAΩ a d. *τιθέμενον* caeterae edd. *Προτίθεσθαι* significat etiam „praetextu uti, causari", ut vel in hoc libello c. 5. et praetexentes, inquit, novam tibi mappam esse. sententiam Cobetus quoque V. L. p. 240 recte perspexit, qui: „suum sibi quisque *χειρόμακτρον* habebat et afferebat secum." certa res est conferenti Martialem Epigr. XII, 29. sed idem Cobetus quum dictionis *τεκμήριον τίθεσθαι*, qua noster quoque De Conscr. Hist. c. 40 utitur, non bene meminisset, sanum verbum *ποιούμενοι* delevit itaque conjecit: *ἐς τὴν ἀπειρίαν τῶν δρωμένων ἀποσκώπτουσι, τεκμήριον τοῦ μὴ παρ' ἄλλῳ πρότερόν σε δεδειπνηκέναι καὶ τὸ καινὸν εἶναί σοι τὸ χειρόμακτρον τιθέμενοι.* quae manifesto ferri nequeunt. *καὶ μήτε διψῶντα πιεῖν* (*ποιεῖν* a. *ποεῖν* T) *αἰτεῖν τολμᾶν*] haec ita transpono: *καὶ μήτε πιεῖν αἰτεῖν διψῶντα τολμᾶν.* libri sic: *παρατεθέντων ποικίλων πρός τινα τάξιν ἐσκευασμένων* v. et fortasse *Φ.* *παρατεθέντων ποικίλοιν* (*ποικίλων ποικίλων* C bis) *καὶ πρός τινα τάξιν ἐσκευασμένων* ACΩΔ. haec ita transposui: *παρατεθέντων πρός τινα τάξιν καὶ ποικίλων ἐσκευασμένων.* vide nostri Convivium c. 11: *εἱστιώμεθα οὖν ἐν ἡσυχίᾳ τὸ πρῶτον, καὶ παρεσκεύαστο ποικίλα.* sensit vitium, non sanavit Courierius ad Asinum p. 296. *κἀκεῖνον*] *κἀκεῖνο* M et fortasse C. *ζηλοῦν*] *δηλοῦν* ΕΦΑCΩΜ.

ὑποβλέπειν οὖν ἐς τὸν πλησίον δεήσει κἀκεῖνον ζηλοῦν καὶ μανθάνειν τοῦ δείπνου τὴν ἀκολουθίαν. 16. τὰ δ' ἄλλα ποικίλος εἶ καὶ θορύβου πλέως τὴν ψυχήν, πρὸς ἕκαστα τῶν πραττομένων ἐκπεπληγμένος. καὶ ἄρτι μὲν εὐδαιμονίζεις τὸν πλούσιον τοῦ χρυσοῦ καὶ τοῦ ἐλέφαντος καὶ τῆς τοσαύτης τρυφῆς, ἄρτι δὲ οἰκτείρεις σεαυτόν, ὡς τὸ μηδὲν ὢν εἶτα ζῆν ὑπολαμβάνεις. ἐνίοτε δὲ κἀκεῖνο εἰσέρχεταί σε, ὡς ζηλωτόν τινα βιώσῃ τὸν βίον ἅπασιν ἐκείνοις ἐντρυφήσων καὶ μεθέξων αὐτῶν ἐξ ἰσοτιμίας· οἴει γὰρ εἰσαεὶ Διονύσια ἑορτάσειν καί που καὶ μειράκια ὡραῖα διακονούμενα καὶ ἠρέμα προσμειδιῶντα γλαφυρωτέραν ὑπογράφει σοι τὴν μέλλουσαν διατριβήν, ὥστε συνεχῶς τὸ Ὁμηρικὸν ἐκεῖνο ἐπιφθέγγεσθαι,

οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς

πολλὰ πονεῖν καὶ ὑπομένειν ὑπὲρ τῆς τοσαύτης * εὐδαι- 672
μονίας. φιλοτησίαι τὸ ἐπὶ τούτῳ, καὶ σκύφον εὐμεγέθη τινὰ αἰτήσας προὔπιέ σοι τῷ διδασκάλῳ, ἢ ὅ τι δήποτε προσειπών· σὺ δὲ λαβών, ὅτι μέν τι σε καὶ αὐτὸν ἐπειπεῖν ἔδει, ἠγνόησας ὑπ' ἀπειρίας καὶ ἀγροικίας δόξαν ὦφλες. 17. ἐπίφθονος δ' οὖν ἀπὸ τῆς προπόσεως ἐκείνης πολλοῖς τῶν παλαιῶν φίλων γεγένησαι, καὶ πρότερον ἐπὶ τῇ κατακλίσει ἐλύπησάς τινας αὐτῶν, ὅτι τήμερον ἥκων προὐκρίθης ἀνδρῶν πολυετῆ δουλείαν ἠντληκότων. εὐθὺς οὖν καὶ τοιοῦτός τις ἐν αὐτοῖς περὶ σοῦ λόγος·

16. τῶν πραττομένων] τῶν πεπραγμένων Φ, male. vide supra c. 15 init. ὑπολαμβάνεις.] Cobetus V. L. p. 240: ὑπελάμβανες, cui conjecturae proxima verba: ἐνίοτε δὲ κἀκεῖνο — repugnant. εἰσέρχεταί] ὑπεισέρχεταί Υ. βιώσῃ] βιώσεις ΦΔ. εἰσαεὶ] ΑCΦ et v. ἐς ἀεὶ Ω. ἐσαεὶ Δ. τὴν μέλλουσαν διατριβήν] τὴν διατριβὴν τὴν μέλλουσαν Δ. ἐπιφθέγγεσθαι ΕΦΑΩ. φθέγγεσθαι v. ἐϋκνήμιδας Lohmannus pro εὐκνήμιδας. versus est Homeri Il. γ', 156. σκύφον εὐμεγέθη τινὰ ΕΦΑCΩ et fortasse ΜΔ. σκύφον εὐμεγέθη τίς edd. vett. confer nostri Convivium c. 14. ὅτι μέν τι Jacobsius. ὅ τι μέν τι v. sed ὅτι μέν τι A, qui alias haud raro ὅ, τι scribit, non semper tamen, ubi eo opus est. ἐπειπεῖν ἔδει Φ. ὑπειπεῖν ἔδει A et v., quod vitium neque Jacobsius neque caeteri attenderunt. ἀπειρίας] ἀπειρείας V. ἀπορίας a.

17. ἐλύπησάς] aoristus ob illud πρότερον recte habet. frustra Bekker: λυπήσας. πολυετῆ] πολυέτη A. ἐν αὐτοῖς περὶ σοῦ

τοῦτο ἡμῖν πρὸς τοῖς ἄλλοις δεινοῖς ἐλείπετο, τὸ καὶ τῶν ἄρτι ἐσεληλυθότων ἐς τὴν οἰκίαν δευτέρους εἶναι. οὐ μόνοις τοῖς Ἕλλησι τούτοις ἀνέῳκται ἡ Ῥωμαίων πόλις; καίτοι τί ἐστιν ἐφ' ὅτῳ προτιμῶνται ἡμῶν; μῶν ῥημάτια δύστηνα λέγοντες οἴονταί τι παμμέγεθες ὠφελεῖν; ἄλλος δέ, οὐ γὰρ εἶδες ὅσα μὲν ἔπιεν, ὅπως δὲ τὰ παρατεθέντα συλλαβὼν κατέφαγεν; ἀπειρόκαλος ἄνθρωπος καὶ λιμοῦ πλέως, οὐδ' ὄναρ λευκοῦ ποτε ἄρτου

λόγος ΕΦΑCΩ. περὶ σοῦ λόγος ἐν αὐτοῖς v. de sententia confer Juvenalem Sat. III, 69 sqq. ἡμῖν πρὸς τοῖς ἄλλοις] ἡμῶν πρὸς τοῖς ἄλλοις ΕΦ. ἡμῖν τοῖς ἄλλοις C. ἡμῶν τοῖς ἄλλοις A et fortassis Ω. πρὸς om etiam a. ἐλείπετο A et v. ἐλίπετο E. tu corrige hic: ἔτι ἐλείπετο et De Saltat. c. 5 scribe: ἔτι γάρ τοῦτό μοι λοιπὸν ἦν, τὸ ἐν βαθεῖ κ. τ. λ. eadem ironia in vernaculo illo inest: „das fehlte noch!" libri καὶ τῶν, sed recte τὸ καὶ τῶν Struvius L. L. p. 229 et Cobetus V. L. p. 240. ἐς τὴν] εἰς τὴν ΦΩ. οὐ μόνοις —;] ita correxi cum interrogatione. libri καὶ μόνοις, sed καὶ ineptum est neque sic interpungi debebat· καί, μόνοις, quasi mox non τρίτος ἄλλος sequeretur. immo nostrum οὐ in ipsis codd. servatum est loco alieno sed vicino inter ἡμῶν et ῥημάτια. olim audacius ita ut est De Sacrific. c. 5 init. conjeceram: ἦ γὰρ οὐ μόνοις —; ἡμῶν; μῶν ῥημάτια] ita supplevi. ἡμῶν ῥημάτια Φ. ἡμῶν; οὐ ῥημάτια A et v, in quo absurdum esse οὐ ut in negativa interrogatione solus vidit Lehmannus. et οὐ quidem, ut modo dictum est, pertinet ad verba superiora, quae ita restitui: οὐ μόνοις. hic vero non minus recte μῶν supplevisse videor. Lucianus reprehendit ille quidem μῶν (nimis puto frequentatum) in Lexiphane c. 21, verum ipse eo minime abstinet. ῥημάτια δύστηνα] frustra Jacobsius ad Porsoni Advers. p. 291: ῥημάτιά τινα δύστηνα conjecit. at Lucianus et γύναια (ῥάκια) δύστηνα in locis a Burmeistero Quaestt. cr. p. 42 collectis et ter praeterea hoc ipsum ῥημάτια δύστηνα de philosophis dixit in Bis Accus. c. 16, in Convivio c. 30 et in Hermotimo c. 79, ubi haec leguntur: ῥημάτια δύστηνα μελετᾶτε. cujus dictionis fontem Dobraeus in Adversar. I p. 563 bene monstravit Demosthenem De Falsa Legat. 421 20: ἐνθάδε σεμνολογεῖ καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας οὐκ οἴει δίκην δώσειν —. ἄλλος δὲ] ἄλλος δὲ Φ (ω supra m sec). κατέφαγεν T et v. κατέπιεν ΕΦΑCΩa, quod frustra probat Cobetus V. L. p. 240, qui non videtur ad praegressa modo ὅσα μὲν ἔπιεν attendisse. ἄνθρωπος Dindorfius pro ἄνθρωπος. οὐδ' ὄναρ usque ad ἐμφορηθεὶς

*ἐμφορηθείς, * οὔτι γε Νομαδικοῦ ἢ Φασιανοῦ ὄρνιθος,* 673 *ὧν μόλις τὰ ὀστᾶ ἡμῖν καταλέλοιπεν. τρίτος ἄλλος, ὦ μάταιοι, φησί, πέντε οὐδ' ὅλων ἡμερῶν ὄψεσθε αὐτὸν ἐνταῦθά που ἐν ἡμῖν τὰ ὅμοια ποτνιώμενον· νῦν μὲν γὰρ ὥσπερ τὰ καινὰ τῶν ὑποδημάτων ἐν τιμῇ τινι καὶ ἐπιμελείᾳ ἐστίν, ἐπειδὰν δὲ πατηθῇ πολλάκις καὶ ὑπὸ τοῦ πηλοῦ μεταπλασθῇ, ὑπὸ τῇ κλίνῃ ἄθλιος ἐρρίψεται κόρεων ὥσπερ ἡμεῖς ἀνάπλεως. ἐκεῖνοι μὲν οὖν τοιαῦτα πολλὰ περὶ σοῦ στρέφουσι, καί που ἤδη καὶ πρὸς διαβολάς τινες αὐτῶν παρασκευάζονται.* 18. *τὸ δ' οὖν συμπόσιον ἐκεῖνο ὅλον σόν ἐστι καὶ περὶ σοῦ οἱ πλεῖστοι τῶν λόγων, σὺ δ' ὑπ' ἀηθείας πλέον τοῦ ἱκανοῦ ἐμπιὼν οἴνου λεπτοῦ καὶ δριμέος, πάλαι τῆς γαστρὸς ἐπειγούσης, πονήρως ἔχεις, καὶ οὔτε προεξαναστῆναί σοι καλὸν οὔτε μένειν ἀσφαλές. ἀποτεινομένου τοίνυν τοῦ πότου καὶ λόγων ἐπὶ λόγοις γιγνομένων καὶ θεαμάτων ἐπὶ*

---

affert Apostolius in Paroemiogr. II p. 376. ubi vide Leutschium.
οὔτι γε] ita libri omnes. *οὔτε γε* vitium Reitzianae est. *καταλέλοιπεν*] a. *καταλέλοιπε* A et v. *ὑπὸ τοῦ πηλοῦ ἀναπλασθῇ* codices, diserte ΦAC, etiam Ω et editiones Reitziana priores. sed *ἀναπλησθῇ* V et *τοῦ πηλοῦ ἀναπλησθῇ* Y, quod probarunt olim Reitzius, nuper Cobetus V. L. p. 146, quum codicum scriptura Solanus primum offensus esset. at quod habet Y, id quidem (ut recte Lehmannus) ob verba proxima: *κόρεων ὥσπερ ἡμεῖς ἀνάπλεως* ferri non potest. hinc antea volueram: *καὶ τοῦ πηλοῦ ὑπερπλησθῇ* collato Alexandro c. 15 init. hodie vero codices ita secutus sum, ut tantum *ἀναπλασθῇ* in *μεταπλασθῇ* converterem. primum calceo, qui transformatus h. e. informis redditus fuerit, uti non licet, tum ipse graeculus cum calceo comparatus recte dici potuit *μεταπλασθῆναι*, uti Diphilus dixit in Stobaei Floril. CXVI. 32: *χαίρει μεταπλάττων (ὁ χρόνος) πάντας*
θλι
ἐπὶ τὰ χείρονα. *ἄθλιος* Bekker. *ἀθλίως* A et v. *ἀθρόως* Ω (sic), *ἀθρόως* M. *πολλὰ περὶ σοῦ* EΦAC et fortassis Ω. *περὶ σοῦ πολλὰ* v. *τινες*] *τινας* A.
18. *συμπόσιον ἐκεῖνο ὅλον* Φ. *συμπόσιον ὅλον ἐκεῖνο* A et v. *πλέον*] *πλεῖον* Φ. *πλείω* Δ. *πλεῖστον* A. *ἀποτεινομένου*] Cobetus V. L. p. 240: *παρατεινομένου* frustra conjecit. vide pauca de multis Hermotim. c. 11 et Bis Accus. c. 33 collatis Aristoph. Nubib. v. 213. *γιγνομένων*] *γινομένων* EΦAΩd.

674 *θεάμασι παριόντων (ἅπαντα γὰρ ἐπιδείξασθαί σοι τὰ* αὐτοῦ βούλεται) κόλασιν οὐ μικρὰν ὑπομένεις μήτε ὁρῶν τὰ γιγνόμενα μήτ' ἀκούων, εἴ τις ᾄδει ἢ κιθαρίζει πάνυ τιμώμενος μειρακίσκος, ἀλλ' ἐπαινεῖς μὲν ὑπ' ἀνάγκης, εὔχῃ δὲ ἢ σεισμῷ συμπεσεῖν ἐκεῖνα πάντα ἢ πυρκαϊάν τινα προσαγγελθῆναι, ἵνα ποτὲ καὶ διαλυθῇ τὸ συμπόσιον.* 19. *τοῦτο μὲν δή σοι τὸ πρῶτον, ὦ ἑταῖρε, καὶ ἥδιστον ἐκεῖνο δεῖπνον, οὐκ ἔμοιγε τοῦ θύμου καὶ τῶν λευκῶν ἁλῶν ἥδιον, ὁπηνίκα βούλομαι καὶ ὁπόσον, ἐλευθέρως ἑστιωμένῳ. ἵνα δ' οὖν σοι τὴν ὀξυρεγμίαν τὴν ἐπὶ τούτοις παρῶ καὶ τὸν ἐν τῇ νυκτὶ ἔμετον, ἕωθεν δεήσει περὶ τοῦ μισθοῦ ξυμβῆναι ὑμᾶς, ὁπόσον τε καὶ ὁπότε*

αὐτοῦ A cum Reitzio. *αὑτοῦ* v. *ὑπομένεις*] *ἐπιμένεις* Φ. *μήτ' ἀκούων*] *μήτε ἀκούων* ΦΔΩ. *ἢ κιθαρίζει* A et v. *καὶ κιθαρίζει* Δ.

19. *καὶ ὁπόσον* AC et v. *καὶ ὁπόσων* ΦΩ. *ἑστιωμένῳ* Lehmannus dubitanter. *ἑστιωμένων* Φ. *ἐσθιομένῳ* T et v. *ἐσθιομένων* EACΩYa, quod in Quaestt. p. 155 frustra probavi. libero et libertatis amico, inquit, tam tenuis victus dulcis quaedam *ἑστίασις* videtur. ita in Demonico Athenaei IX p. 410, d *ἑστιῶν* pro *ἐσθίων* Casaubonus restituit. *δ' οὖν* Bekker. libri *γοῦν*. *ὀξυρεγμίαν*] *ὀξυρευγμίαν* Ω. *ἐξηρευγμίαν* et in marg. al. man. *γρ. ὀξυρευγμίαν* Φ. *ἐξορευγμίαν* et in marg. *ὀξυρεγμίαν* E. *ἐξωρευγμίαν* et in marg. *γρ. ὀξυρευγμίαν* (*γρ' ὀξηρευγμίαν* A) CA. quibus scripturis tres formae inesse possunt, *ὀξυρεγμία*, *ὀξυρυγμία* et *ὀξορεγμία*. secunda in tribus locis Hippocratis quodammodo inest, *ὀξυρευγμίη* (collectis ab intpp. Erotiani p. 266). tertiam Phrynichus in Bekkeri Anecd. p. 56, 19 agnoscere videtur, docens ille *ὀξύβαφον*, *ὀξύγαρον* attico dici, non item *ὀξόβαφον*, *ὀξόγαρον*, cujus praecepti pars mihi haec esse videntur: *ὀξυρεγμία καὶ ὀξωρεγμία τὸ αὐτό ἐστι· λέγεται γὰρ ἀμφότερα.* at in tali nexu *ὀξωρεγμία* afferri non potuit nisi additis verbis *διὰ τοῦ ω*. itaque corrigo: *ὀξυρεγμία καὶ ὀξορεγμία* —. recte tamen Pollux VI, 44 *ὀξυρεγμία* atticis tribuit, quo ipse Aristophanes utitur et apud Photium p. 340, 22 et in Pace v. 521, ubi est *κρομμυοξυρεγμίας*. sexcenties etiam Hippocrates *ὀξυρεγμίη* habet et Galenus *ὀξυρεγμία*. Galenus quidem T. 18 P. 1 p. 4 ed. Kühn. clare scripsit: *ὀξεῖαι — ἐρυγαὶ —, ἃς ὀξυρεγμίας ὀνομάζουσι* et ibid. p. 53 formam Hippocratis *ὀξυρεγμιώδης* adscivit. alias aliorum auctoritates omitto. ceterum *ὀξερυγμία* Dobraeus ad Plutum v. 1021 ab se inventum obtrusit Aristophani. est illud quidem non male inventum viderique potest praestare formae supra positae *ὀξυρυγμία* sive *ὀξυρευγμίη*,

τοῦ ἔτους χρὴ λαμβάνειν. παρόντων οὖν δύο ἢ τριῶν
φίλων προσκαλέσας σε καὶ καθίζεσθαι κελεύσας ἄρχεται
λέγειν· τὰ μὲν ἡμέτερα ὁποῖά ἐστιν, ἑώρακας ἤδη, καὶ
ὡς τῦφος ἐν αὐτοῖς οὐδὲ εἷς, ἀτραγῴδητα δὲ καὶ πεζὰ
πάντα καὶ δημοτικὰ, χρὴ δέ σε οὕτως ἔχειν ὡς ἁπάντων
ἡμῖν κοινῶν ἐσομένων. γελοῖον γὰρ εἰ τὸ κυριώτατον, τὴν
ψυχήν σοι τὴν ἐμαυτοῦ, (ἢ καὶ νὴ Δία τῶν παίδων, εἰ
παῖδες εἶεν αὐτῷ παιδεύσεως δεόμενοι) ἐπιτρέπων, τῶν
ἄλλων μὴ ἐπ' ἴσης ἡγοίμην * δεσπότην. ἐπεὶ δὲ καὶ 675
ὡρίσθαι τι δεῖ, ὁρῶ μὲν τὸ μέτριον καὶ αὔταρκες τοῦ
σοῦ τρόπου καὶ συνίημι, ὡς οὐχὶ μισθοῦ ἐλπίδι προσ-
ελήλυθας ἡμῶν τῇ οἰκίᾳ, τῶν δ' ἄλλων ἕνεκα, τῆς εὐ-
νοίας τῆς παρ' ἡμῶν καὶ τιμῆς, ἣν παρὰ πᾶσιν ἕξεις·
ὅμως δ' οὖν καὶ ὡρίσθω τι. σὺ δ' αὐτὸς ὅ τι καὶ βού-
λει, λέγε μεμνημένος, ὦ φίλτατε, κἀκείνων, ἅπερ ἐν ἑορ-
ταῖς διετησίοις εἰκὸς ἡμᾶς παρέξειν. οὐ γὰρ ἀμελήσομεν
οὐδὲ τῶν τοιούτων, εἰ καὶ μὴ νῦν αὐτὰ συντιθέμεθα·
πολλαὶ δὲ, οἶσθα, τοῦ ἔτους αἱ τοιαῦται ἀφορμαί. καὶ
πρὸς ἐκεῖνα τοίνυν ἀποβλέπων μετριώτερον δῆλον ὅτι
ἐπιβαλεῖς ἡμῖν τὸν μισθόν· ἄλλως τε καὶ πρέπον ἂν εἴη

etsi Zonaras p. 1456 formam ὀξυρεγχμία itemque ὀξερευγμία probare videtur. ὑμᾶς] ἡμᾶς ΕΦΑΩa. παρόντων οὖν δύο] παρόντων ἢ δύο A. παρόντων οὖν ἢ δύο ΕΦΩΜΔ, lectione et ab Lehmanno et ab Cobeto V. L. p. 240 bene explosa. καθίζεσθαι A et v. καθέζεσθαι ΩΔ. ἐμαυτοῦ ΕΦΑCΩUY a c et fortasse ΜΔ. ἑαυτοῦ d. ἑαυτοῦ multae edd. parenthesin, quae editoribus placuit, εἰ — δεόμενοι in Quaest. p. 155 jure improbavi. sub haec omnia τὴν ἑαυτοῦ — δεόμενοι, si ἑαυτοῦ scripseris, sin ἐμαυτοῦ, verba ἢ καὶ νὴ Δία — δεόμενοι ab reliquis separanda sunt. ἢ καὶ νὴ Δία] γε post δία addit Φ solus. Lucianus habet καὶ νὴ Δία γε, ut vel in hoc libro c. 28, non item ἢ καὶ νὴ Δία γε, nisi semel in uno codice D. Mort. XVII, 1, sed attice collocat ἢ καὶ νὴ Δία — γὲ, ut in Vitar. Auct. c. 7 fin. vide mea ad l. De M. Peregr. c. 33 fin. et Schwidop Observv. Luc. III p. 20. εἶεν] εἰ ἐν A. ἐπ' ἴσης E. ἐπίσης A et v. δ' ἄλλων] δὲ ἄλλων ΦΑCΩ. διετησίοις ΕΦΑΩΜΔ. ἐτησίοις v. ἡμᾶς] ἡμὰς A. πολλαὶ] πολλάκις Y. οἶσθα] ὡς οἶσθα M. vide mea Quaestt. p. 157. δῆλον ὅτι A pro δηλονότι. ἐπιβαλεῖς MV et fortassis Ω. ἐπιβάλῃς Φ. ἐπιβάλοις vulgo. ἐπιβάλλοις E. ἐπὶ βάλλοις A (ita A). πεπαιδευμένοις] πεπεδευμένοις A.

τοῖς πεπαιδευμένοις ὑμῖν κρείττοσιν εἶναι χρημάτων. 20. ὁ μὲν ταῦτ' εἰπὼν καὶ ὅλον σε διασείσας ταῖς ἐλπίσι τιθασὸν ἑαυτῷ πεποίηκε, σὺ δὲ πάλαι τάλαντα καὶ μυριάδας ὀνειροπολήσας καὶ ἀγροὺς ὅλους καὶ συνοικίας συνίῃς μὲν ἠρέμα τῆς μικρολογίας, σαίνεις δὲ ὅμως τὴν ὑπόσχεσιν καὶ τὸ, πάντα ἡμῖν κοινὰ ἔσται, βέβαιον καὶ ἀληθὲς ἔσεσθαι νομίζεις οὐκ εἰδὼς ὅτι τὰ τοιαῦτα

χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν·

676 * τελευταῖον δ' ὑπ' αἰδοῦς αὐτῷ ἐπέτρεψας. ὁ δὲ αὐτὸς μὲν οὔ φησιν ἐρεῖν, τῶν φίλων δέ τινα τῶν παρόντων κελεύει μέσον ἐλθόντα τοῦ πράγματος εἰπεῖν, ὃ μήτ' αὐτῷ γίγνοιτ' ἂν βαρὺ καὶ πρὸς ἄλλα τούτων ἀναγκαιότερα δαπανῶντι μήτε τῷ ληψομένῳ εὐτελές. ὁ δὲ, ὠμογέρων τις ἐκ παίδων κολακείᾳ σύντροφος, ὡς μὲν οὐκ εὐδαιμονέστατος εἶ, φησὶ, τῶν ἐν τῇ πόλει ἁπάντων, ὦ οὗτος, οὐκ ἂν εἴποις, ᾧ γε τοῦτο πρῶτον ὑπῆρχεν, ὃ πολλοῖς πάνυ γλιχομένοις μόλις ἂν γένοιτο παρὰ τῆς τύχης, λέγω δὲ, ὁμιλίας ἀξιωθῆναι καὶ ἑστίας κοινωνῆσαι καὶ ἐς τὴν πρώτην οἰκίαν τῶν ἐν τῇ Ῥωμαίων ἀρχῇ καταδεχθῆναι· τοῦτο γὰρ ὑπὲρ τὰ Κροίσου τάλαντα καὶ τὸν

20. ταῦτ'] ταῦτα ACΩ. τιθασὸν Φ. τιθασσὸν A et v. καὶ ἀγροὺς ὅλους καὶ σ.] καὶ γὰρ ἀγροὺς ὅλους καὶ σ. A. καὶ γὰρ ^ ἀγροὺς καὶ ^ ὅλους συνοικίας (sic) Φ. συνίῃς] συνείῃς E. libri σαίνεις δὲ ὅμως τὴν ὑπόσχεσιν sed in X est: „Al. ἐπαινεῖς δὲ ὅμως τὰς ὑποσχέσεις.“ at ne poetae quidem dicunt σαίνω τι „aliqua re delector.“ immo aut ita corrigo: σαίνεις δὲ ὅμως πρὸς τὴν ὑπόσχεσιν collato Pindaro Ol. IV, 4: ἔσαναν αὐτίκ' ἀγγελίαν | ποτὶ γλυκεῖαν ἐσλοί, aut id quod malim: σαίνῃ (sive σαίνει) δὲ ὅμως τῇ ὑποσχέσει. attici enim passivo ita utuntur. sicut Aeschylus in Choeph. v. 189: σαίνομαι δ' ὑπ' ἐλπίδος et Diogenes Laert. VIII, 41: οἱ δὲ σαινόμενοι τοῖς λεγομένοις —. ἐδίην' Marcilius. libri ἐδίηνεν. ἐδίηνεν a. ἐδίηνε A et v. versus Homeri Il. χ', 495. μέσον ἐλθόντα τοῦ πράγματος A et v. μέσον τοῦ πράγματος ἐλθόντα Ω, fortassis recte. μήτ' αὐτῷ] μὴ αὐτῷ ΦACΩ. γίγνοιτ'] γίνοιτ' EΦ. γένοιτ' AC. ὠμογέρων τις ΦAC et v. ὠμογέρωντις conjunctim E d. ὁμογέρων τις U. idem fere vitium ὁμόγραυς pro ὠμόγραυς ex Arcadio et Photii Menandro Lobeckius in Paralip. p. 227 sustulit. ὦ οὗτος] haec om Φ, male. οἰκίαν τῶν ἐν τῇ] οἰκίαν ἐν τῇ Φ. μίδα A et fortassis Ω. Μίδου v.

*Μίδα πλοῦτον, εἰ σωφρονεῖν οἶσθα. ἰδὼν δὲ πολλοὺς
τῶν εὐδοκίμων ἐθελήσαντας ἄν, εἰ καὶ προσδιδόναι δέοι,
μόνης τῆς δόξης ἕνεκα συνεῖναι τούτῳ καὶ ὁρᾶσθαι περὶ
αὐτὸν ἑταίρους καὶ φίλους εἶναι δοκοῦντας, οὐκ ἔχω
ὅπως σε τῆς εὐποτμίας μακαρίσω, ὃς καὶ προσλήψῃ
μισθὸν τῆς τοιαύτης εὐδαιμονίας. ἀρκεῖν οὖν νομίζω,
εἰ μὴ πάνυ ἄσωτος * εἶ, τοσόνδε τι (εἰπὼν ἐλάχιστον,* 677
καὶ μάλιστα πρὸς τὰς σὰς ἐκείνας ἐλπίδας). 21. *ἀγα-
πᾶν δ' ὅμως ἀναγκαῖον· οὐ γὰρ οὐδ' ἀναφυγεῖν ἔτι σοι
δυνατὸν ἐντὸς ἀρκύων γενομένῳ. δέχῃ τοίνυν τὸν χαλι-
νὸν μύσας, καὶ τὰ πρῶτα εὐάγωγος εἶ πρὸς αὐτὸν οὐ
πάνυ περισπῶντα οὐδ' ὀξέως νύττοντα, μέχρι ἂν λάθῃς
τέλεον αὐτῷ συνήθης γενόμενος. οἱ μὲν δὴ ἔξω ἄνθρω-
ποι τὸ μετὰ τοῦτο ζηλοῦσί σε ὁρῶντες ἐντὸς τῆς κιγκλί-
δος διατρίβοντα καὶ ἀκωλύτως εἰσιόντα καὶ τῶν πάνυ
τινὰ ἔνδον γεγενημένον· σὺ δὲ αὐτὸς οὐδέπω ὁρᾷς, οὗ-
τινος ἕνεκα εὐδαίμων αὐτοῖς εἶναι δοκεῖς. πλὴν ἀλλὰ
χαίρεις γε καὶ σεαυτὸν ἐξαπατᾷς καὶ ἀεὶ τὰ μέλλοντα
βελτίω γενήσεσθαι νομίζεις. τὸ δ' ἔμπαλιν ἢ σὺ ἤλπι-
σας γίγνεται, καὶ ὡς ἡ παροιμία φησίν, ἐπὶ Μανδροβό-*

εἶδον vulgo et plerique libri (diserte *ΦΑCΩ*) praeter unum U qui *εἰδὼς* probante Lehmanno, verbis *οἶσθα εἰδὼς* non bene juncti*s*. ego Gesnero duce *ἰδὼν* correxi. *εἰ καὶ*] *εἰ* deletum in Y et ante *δέοι* repositum. *συνεῖναι*] *τοῦ συνεῖναι* Y. *τῆς τοιαύτης* libri et edd. vett. *ἐκ τοιαύτης* aliquot editiones. vix opus conjectura mea: *τῆς τοσαύτης* —. *τοσόνδε τι εἰπὼν ἐλάχιστον*] haec olim male juncta in Quaestt. p. 34 separavi.

21. *δ' ὅμως*] *δὲ ὅμως Φ.* *οὐδ' ἀναφυγεῖν*] ita correxi. libri *οὐδ' ἂν φυγεῖν*. illud h. l. significat „retrorsum fugere." nostrates: du kannst nicht wieder zurück. *γενομένῳ*] *γεγενημένῳ ΩΜ*. *οὐδ'*] *οὐδὲ ΦΔΩ*. *μέχρι* Jacobitius. libri *μέχρις*. *τὸ μετὰ τοῦτο*] *τομετατοῦτο* A ut semper. *ζηλοῦσι*] *ξηλοῦσι* et mox *τῆς κικλίδος* A. *τῶν πάνυ*] *τὸν πάνυ* a. *οὕτινος ἕνεκα εὐδαίμων αὐτοῖς εἶναι δοκεῖς*] *εἶναι* om *Ω*. transpone, sicut res et usus postulat: *οὕτινος ἕνεκα αὐτοῖς εὐδαίμων εἶναι δοκεῖς*. *τὸ δ'*] *τὸ δὲ Φ*. *ἐπὶ μανδροβόλου Φ*. *ἐπὶ Μανδροβούλου* EACΩV. *ἐπὶ Μανδραβούλου* v. *ἐπὶ τὰ Μανδροβούλου Δ*. *ἐπὶ τὰ Μανδραβούλου* Y. vera hujus nominis forma ea est, quam optimi codices ubique tuentur, *Μανδρόβολος*, probata illa primum Gaisfordo ad

λου χωρεῖ τὸ πρᾶγμα, καθ' ἑκάστην ὡς εἰπεῖν τὴν ἡμέραν ἀποσμικρυνόμενον καὶ εἰς τοὔπισω ἀναποδίζον. 22. *ἠρέμα οὖν καὶ κατ' ὀλίγον ὥσπερ ἐν ἀμυδρῷ τῷ*

Suidam s. *Ἐπὶ τὰ Μανδροβόλου.* in scholio ad h. l. Vossiano et apud Bachmann. Anecd. II p. 339, 12 Parisino quodam Platonis comici mentio fit nulla, sed in alio Parisino, C, scholium caetera idem post illa: *καὶ τῷ τρίτῳ χαλκοῦν* hisce verbis auctum est: *μέμνηται πλάτων ὁ κωμικὸς ἐν διὶ κακουμένῳ.* eadem verba in Marciano et in Barocciano scholio addita sunt. id unum scimus, a Platone in illa comoedia hoc proverbium commemoratum fuisse, verba Platonis ipsa plane nescimus. itaque Meinekius quum in prima fragmentorum editione p. 633 de verbis Platonis recte tacuisset, male idem in secunda p. 367 in Platonem haec transtulit, „*ἐπὶ Μανδροβόλου χωρεῖ τὸ πρᾶγμα*“, quae Luciani verba sunt, Platonis fortasse non sunt. Lucianeum scholium, quod excepta Platonis memoria etiam apud Suidam posteriore glossa, Zenobium III, 82 et Diogenianum IV, 62 exstat, ob ovem Samiorum cultui consentaneam (Aelian. H. A. XII, 40 et Clemens Al. Protr. p. 25 Sylb.) plus fidei invenit aliis scholiis, quae pro ove habent *βοῦς ἔθυσε* vel *κριὸν χρυσοῦν ἀνέθηκεν.* ipsum proverbium ab Luciano, ab Gregorio Cyprio III, 50, Apostolio VII, 78 bene ita conceptum est: *ἐπὶ Μανδροβόλου χωρεῖ τὸ πρᾶγμα*, id est opinor *ὡς ἐπὶ Μ.*, „res ut Mandroboli aetate male cedit.“ nec minus bene scripsit Niceph. Gregor. Hist. Byz. XII, 14 fin: *ὡς γὰρ ἐπὶ Μανδραβόλου* (sic) *τὰ ἐκείνου διηνεκῶς ἐχώρει.* eodem modo *ἐπὶ* accipe in alio proverbio, *τἀπὶ Χαριξένης*, ut Aristophanes Eccles. v. 943, sive ut paroemiographus I p. 411 ed. Leutschi *ἐπὶ Χαριξένης*, sive ut Hesychius s. *Ἐπὶ Χαριξένης* habet: *οἷα τἀπὶ Χαριξένης.* restat haec proverbii nostri forma, *ἐπὶ τὰ Μανδροβόλου*, quam in Hesychio ipsa literarum series postulat, eandem servarunt Zenobius III, 82, Suidas priore loco iisdemque verbis Diogenianus IV, 62, et eandem Suidae reddo posteriore glossa: *Ἐπὶ τοῦ* (corr. *τὰ*) *Μανδραβόλου*: *ἐπὶ τοῦ* —. hoc proverbii lemma ex alio scriptore, velut e versu Platonis sumtum esse conjicio, quasi ita scriptum fuisse fingas: *ἀλλ' ὦ πατρίδιον, ἐπὶ τὰ Μανδροβόλου τρέπει.* confer Vesp. v. 986 et memento proverbii *Ἐπὶ τἀλλότρια Παυσανίας* (II p. 166 Leutsch.). nam duae tantum hujus proverbii formae sunt justae, Lucianea *ἐπὶ Μανδροβόλου χωρεῖ τὸ πρᾶγμα* et scriptoris incerti *ἐπὶ τὰ Μανδροβόλου*, quibus formis temere et absurde confusis ita scripserunt et Alciphro Epp. I, 9 init: *ὡς ἐναντίως ἡμῖν καὶ κατὰ τὴν παροιμίαν ἐπὶ τὰ Μανδροβόλου χωρεῖ τὰ πράγματα* (quanquam in Alciphrone corrigo: *ἐπὶ Μανδροβόλου*) et Zonaras T. III p. 175: *ὅτι αὐτῷ αἱ ἐλπίδες ὑπέρρεον καὶ τὸ*

φωτὶ * τότε πρῶτον διαβλέπων ἄρχῃ κατανοεῖν, ὡς αἱ 678 μὲν χρυσαῖ ἐκεῖναι ἐλπίδες οὐδὲν ἀλλ' ἢ φῦσαί τινες ἦσαν ἐπίχρυσοι, βαρεῖς δὲ ὡς ἀληθῶς καὶ ἀπαραίτητοι καὶ συνεχεῖς οἱ πόνοι. τίνες οὗτοι; ἴσως ἐρήσῃ με· οὐχ ὁρῶ γὰρ ὅ τι τὸ ἐπίπονον ἐν ταῖς τοιαύταις ξυνουσίαις ἐστὶν, οὐδ' ἐννοῶ ἅτινα ἔφησθα τὰ καματηρὰ καὶ ἀφόρητα. οὐκοῦν ἄκουσον, ὦ γενναῖε, μὴ εἰ κάματος ἔνεστιν ἐν τῷ πράγματι μόνον ἐξετάζων, ἀλλὰ καὶ τὸ αἰσχρὸν καὶ ταπεινὸν καὶ συνόλως δουλοπρεπὲς οὐκ ἐν παρέργῳ τῆς ἀκροάσεως τιθέμενος. **23.** καὶ πρῶτόν γε μέμνησο μηκέτι ἐλεύθερον τὸ ἀπ' ἐκείνου μηδ' εὐπατρίδην σεαυτὸν οἴεσθαι· πάντα γὰρ ταῦτα, τὸ γένος, τὴν ἐλευθερίαν, τοὺς προγόνους ἔξω τοῦ ὀδοῦ καταλείψων ἴσθι, ἐπειδὰν ἐπὶ τοιαύτην λατρείαν σαυτὸν ἀπεμπολήσας εἰσίῃς. οὐ γὰρ ἐθελήσει σοι ἡ Ἐλευθερία ξυνεισελθεῖν ἐφ' οὕτως ἀγεννῆ πράγματα καὶ ταπεινὰ εἰσιόντι. δοῦλος οὖν, εἰ καὶ πάνυ ἀχθέσῃ τῷ ὀνόματι, καὶ οὐχ ἑνὸς, ἀλλὰ πολλῶν δοῦλος ἀναγκαίως ἔσῃ καὶ θητεύσεις κάτω νενευκὼς ἕωθεν εἰς ἑσπέραν, „ἀεικελίῳ ἐπὶ μισθῷ·“ καὶ

τῆς παροιμίας ἐπὶ τὰ Μανδραβόλου (sic) *ἐχώρευν* et scholiasta Luciani apud unum Bachmannum l. l., cujus lemma hoc est: *ἐπὶ τὰ Μανδροβούλου χωρεῖ.* *ἀναποδίζον — τότε* (c. 22 init.)] haec duodecim verba in textu om *Ω* sed in margine adscr. hinc facile patet, quomodo verba media *καὶ κατ' ὀλίγον* exciderint. talia nunc integra nunc manca nunc ètiam partim mendosa in codd. supplentur.

22. *καὶ κατ' ὀλίγον* accesserunt ex ΕΤΑΩΜΔ et qui *ὀλίγου* U et qui *ὀλίγων Φ*. addi haec voluit etiam Jacobsius ad Achill. Tat. p. 663. *ἀλλ' ἢ* A a c. *ἄλλ' ἢ* edd. vett. pleraeque. *φῦσαί τινες ἦσαν*] *ἦσαν* om *Ω*. ego olim conjeceram: *φυσαλλίδες ἦσαν* collato Charone c. 19, sed jam in Quaestt. Luc. p. 16 ad vulgatam redii. *βαρεῖς δὲ ὡς ἀληθῶς* Jacobitius. *βαρεῖς δὲ ἀληθεῖς* A. *βαρεῖς δὲ καὶ ἀληθεῖς* v. *οὐδ' ἐννοῶ*] ita correxi. libri *οὐδ' ἐπινοῶ*. vide Burmeisterum Quaestt. cr. p. 42.

23. *μηδ'*] *μὴ δὲ Φ* et qui in textu *ἀπατρίδην*, sed in marg pm . *εὐ* A. *ὁδεῦ* A. *εὐδοῦ Ω* et v. attica *Διοσκόρω*, *κολεὸς ὀδὸς* olim (De atticismo Luc. I p. 12) e codd. Luciano restitui. *ἐπὶ τοιαύτην λατρείαν σαυτὸν*] ita correxi. libri *ἐπὶ τοιαύτην σαυτὸν λατρείαν*. *εἰσίῃς*] *εἰσῄεις Φ*. *οὖν, εἰ καὶ*] *οὖν εἰ. καὶ* A. *οὖν, κἂν* U. *ἀναγκαίως*] *ἀναγκαῖος Φ*. *εἰς ἑσπέραν* ΦΑΩ. *ἐς ἑσπέραν* v. *θητεύσεις — ἀεικελίῳ ἐπὶ μισθῷ*] „ex Odyss. τ',

*ἅτε δὴ μὴ ἐκ παίδων τῇ δουλείᾳ ξυντραφεὶς, ὀψιμαθή-
σας δὲ καὶ πόρρω που τῆς ἡλικίας παιδευόμενος πρὸς
679 αὐτῆς, οὐ πάνυ εὐδόκιμος ἔσῃ οὐδὲ πολλοῦ * ἄξιος τῷ
δεσπότῃ. διαφθείρει γάρ σε ἡ μνήμη τῆς ἐλευθερίας
ὑπιοῦσα καὶ ἀποσκιρτᾶν ἐνίοτε ποιεῖ καὶ δι' αὐτὸ ἐν
τῇ δουλείᾳ πονηρῶς ἀπαλλάττειν. πλὴν εἰ μὴ ἀποχρῆν
σοι πρὸς ἐλευθερίαν νομίζεις, τὸ μὴ Πυρρίου μηδὲ Ζω-
πυρίωνος υἱὸς εἶναι, μηδ' ὥσπερ τις Βιθυνὸς ὑπὸ με-
γαλοφώνῳ τῷ κήρυκι ἀπημπολῆσθαι. ἀλλ' ὁπόταν, ὦ
βέλτιστε, τῆς νουμηνίας ἐπιστάσης ἀναμιχθεὶς τῷ Πυρ-
ρίᾳ καὶ τῷ Ζωπυρίωνι καὶ τοῖς ἄλλοις οἰκέταις προτεί-
νῃς τὴν χεῖρα ὁμοίως αὐτοῖς καὶ λάβῃς ἐκεῖνο ὅ τι δή-*

341: *ἀεικελίῳ ἐνὶ κοίτῃ.*" Solanus, qui Il. ξ, 84 addere poterat. at ut *ἀεικελίῳ* hinc sumtum sit, caetera potius ex Il. φ', 444 sq.: *θητεύσαμεν εἰς ἐνιαυτὸν μισθῷ ἔπι ῥητῷ* expressa sunt, si tamen expressa ex Homero. quis enim spondeat, non ex alio potius poeta epico haec verbotenus ducta esse, qui ita fere scripserit: [*τλῆ δ' αὐτῷ*] *θητεῦσαι ἀεικελίῳ ἐπὶ μισθῷ*? confer et poetam incertum ap. Plutarch. Moral. p. 761 d. cujus versum Schneidewinus ita scribebat: *Ἀδμήτῳ πάρα θητεῦσαι μέγαν εἰς ἐνιαυτόν*, et Rhianum pluresque poetas ap. schol. ad Eurip. Alcest. v. 1. et inprimis Panyasin (in Heraclea) ap. eundem Clementem Protr. p. 22. d. *ὑπιοῦσα*] *ὑπτιοῦσα* EAC. *πονηρῶς* ΦAa et fortassis Ω. *πονήρως* v. *υἱὸς εἶναι* Φ. *υἱὸν εἶναι* A et v. hujus nominativi exempla e Luciano collegi in Quaestt. p. 103 sq. et aliunde Lobeckius ad Phryn. p. 750 sq. *μηδ'*] *μηδὲ* Φ. *μὴ δὲ* A. *ἐπιστάσης — προτείνῃς*] haec octo verba om A, quae hic quoque turbarum causa fuit. confer supra ad c. 21 fin. habet haec verba C qui *προτείνεις* pro *προτείνῃς*. *ἀναμιχθεὶς τῷ Πυρρίᾳ καὶ τῷ Ζωπυρίωνι καὶ τοῖς ἄλλοις οἰκέταις προτείνῃς τὴν χεῖρα ὁμοίως αὐτοῖς*] ita haec transposui. *ἀναμιχθεὶς τῷ Πυρρίᾳ καὶ τῷ Ζωπυρίωνι καὶ προτείνῃς τὴν χεῖρα ὁμοίως τοῖς ἄλλοις οἰκέταις* Φ. post *τῆς νουμηνίας* A pergit: *τὴν χεῖρα ὁμοίως τοῖς ἄλλοις οἰκέταις* (puncto punctum in marg pr m respondet). *τοῖς ἄλλοις οἰκέταις* etiam E. *τοῖς καλοῖς οἰκέταις* M. *ἀναμιχθεὶς τῷ Πυρρίᾳ καὶ τῷ Ζωπυρίωνι προτείνῃς τὴν χεῖρα ὁμοίως τοῖς αὐτοῖς οἰκέταις* edd. vett. recte haec ab me transposita esse docet scriptura Φ *τῷ Ζωπυρίωνι καὶ* (unde patet olim recte juncta fuisse *τῷ Ζωπυρίωνι καὶ τοῖς ἄλλοις οἰκέταις*), docet vulgata *ὁμοίως τοῖς αὐτοῖς οἰκέταις* (unde colligas olim recte scriptum fuisse *ὁμοίως αὐτοῖς*), docet etiam res ipsa, graeculum non servis duobus sed multorum ser-

ποτε ἦν τὸ γιγνόμενον, τοῦτο ἡ πρᾶσίς ἐστι· κήρυκος γὰρ οὐκ ἔδει ἐπ' ἄνδρα ἑαυτὸν ἀποκηρύξαντα καὶ μακρῷ χρόνῳ μνηστευσάμενον ἑαυτῷ τὸν δεσπότην. 24. εἶτ', ὦ κάθαρμα, φαίην ἄν, καὶ μάλιστα πρὸς τὸν φιλοσοφεῖν φάσκοντα, εἰ μέν σέ τις ἢ πλέοντα καταποντιστὴς συλλαβὼν ἢ λῃστὴς ἀπεδίδοτο, ᾤκτειρες ἂν σεαυτὸν ὡς παρὰ τὴν ἀξίαν δυστυχοῦντα, ἢ εἴ τις σου λαβόμενος ἦγε δοῦλον εἶναι λέγων, ἐβόας ἂν τοὺς νόμους καὶ δεινὸ ἐποίεις καὶ ἠγανάκτεις καί, ὦ γῆ καὶ θεοί, μεγάλῃ τῇ φωνῇ ἐκεκράγεις ἄν, σεαυτὸν δὲ ὀλίγων ἕνεκα ὀβολῶν ἐν τούτῳ τῆς ἡλικίας, ὅτε καὶ εἰ φύσει δοῦλος ἦσθα, καιρὸς ἦν πρὸς * ἐλευθερίαν ἤδη ὁρᾶν, αὐτῇ ἀρετῇ καὶ 680
σοφίᾳ φέρων ἀπημπόλησας, οὐδὲ τοὺς πολλοὺς ἐκείνους λόγους αἰδεσθείς, οὓς ὁ καλὸς Πλάτων ἢ [ὁ] Χρύσιππος ἢ Ἀριστοτέλης διεξεληλύθασι τὸ μὲν ἐλευθέριον ἐπαινοῦντες, τὸ δουλοπρεπὲς δὲ διαβάλλοντες; καὶ οὐκ αἰσχύνῃ κόλαξιν ἀνθρώποις καὶ ἀγοραίοις καὶ βωμολόχοις ἀντεξεταζόμενος καὶ ἐν τοσούτῳ πλήθει ἀστικῷ μόνος ξενίζων τῷ τρίβωνι καὶ πονηρῶς τὴν Ῥωμαίων φωνὴν

---

vorum turbae immixtum dici. vide infra c. 25: ἀναμεμίχθαι καὶ τοιοῦτόν τινα τοῖς προϊοῦσι et D. Mort. XXVII, 6: οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις. καὶ λάβῃς] καὶ om d. . γιγνόμενον ΕΦΑCΩΜΔ. διδόμενον v. διδώμενον a. πρᾶσις Lehmannus. libri πράσις. μνηστ. ἑ. τ. δεσπότην] μνηστευσάμενος ἑαυτῷ δεσπότῃ a.

24. φαίην ἂν καὶ μάλιστα] καὶ μάλιστα φαίην ἂν Ω. πρὸς τὸν] etsi alloqui ipsum Timoclem solet, qui et huic vitae generi inhiabat (c. 3) et vero erat philosophus (c. 4 init.): hic tamen πρὸς σὲ τὸν —, ne id subrustice dictum videretur, scribere noluit. σου λαβόμενος ΕΦΑCΩΜΔ. σου συλλαβόμενος v. ἀπημπόλησας] ita correxi. ἀπεμπολήσας Φ. ἀπημπόληκας A et v. libri ἢ ὁ Χρύσιππος. ego articulum deleo. ἢ Ἀριστοτέλης] ἢ ὁ Ἀριστοτέλης Δ solus, quo recepto etiam ἢ ὁ Χρύσιππος bene habebit. διαβάλλοντες; A. διαβάλλοντες, v. ἀντεξεταζόμενος] Cobeto V. L. p. 240 συνεξεταζόμενος sententia postulare videbatur, mihi non item. nam infelici graeculo cum hominibus istis de gratia contendendum erat (c. 27). ἀστικῷ Dindorfius. ἀστικῶν U. ἀστεικῷ V. ἀστεϊκῷ RT. ῥωμαϊκῷ ΕΦΑΩ. Ῥωμαϊκῶν v. quis ferat Ῥωμαϊκῷ — Ῥωμαίων? τρίβωνι] πώγωνι RTUV. πονηρῶς ΦΑΩa. πονήρως v. ἔχων πηλὸν ΕΑΩΜΔ. πηλὸν ἔχων

βαρβαρίζων, εἶτα δειπνῶν δεῖπνα θορυβώδη καὶ πολυ-
άνθρωπα συγκλύδων τινῶν καὶ τῶν πλείστων μοχθηρῶν;
καὶ ἐν αὐτοῖς ἐπαινεῖς φορτικῶς καὶ πίνεις πέρα τοῦ
μετρίως ἔχοντος· ἕωθέν τε ὑπὸ κώδωνι ἐξαναστὰς ἀπο-
σεισάμενος τοῦ ὕπνου τὸ ἥδιστον συμπεριθεῖς ἄνω καὶ
κάτω, ἔτι τὸν χθιζὸν ἔχων πηλὸν ἐπὶ τοῖν σκελοῖν. οὕ-
τως ἀπορία μέν σε θέρμων ἔσχεν ἢ τῶν ἀγρίων λαχά-
νων, ἐπέλιπον δὲ καὶ αἱ κρῆναι ῥέουσαι τοῦ ψυχροῦ
681 ὕδατος, ὡς ἐπὶ ταῦτά σε * ὑπ' ἀμηχανίας ἐλθεῖν; ἀλλὰ
δῆλον, ὡς οὐχ ὕδατος οὐδὲ θέρμων, ἀλλὰ πεμμάτων καὶ
ὄψου καὶ οἴνου ἀνθοσμίου ἐπιθυμῶν ἑάλως, καθάπερ
ὁ λάβραξ αὐτὸν μάλα δικαίως τὸν ὀρεγόμενον τούτων
λαιμὸν διαπαρείς. παρὰ πόδας τοιγαροῦν τῆς λιχνείας
ταύτης τἀπίχειρα, καὶ ὥσπερ οἱ πίθηκοι, δεθεὶς κλοιῷ
τὸν τράχηλον ἄλλοις μὲν γέλωτα παρέχεις, σεαυτῷ δὲ
δοκεῖς τρυφᾶν, ὅτι ἔστι σοι τῶν ἰσχάδων ἀφθόνως ἐν-
τραγεῖν· ἡ δ' ἐλευθερία καὶ τὸ εὐγενὲς αὐτοῖς φυλέταις
καὶ φράτορσι φροῦδα πάντα καὶ οὐδὲ μνήμη τις αὐτῶν.
25. καὶ ἀγαπητόν, εἰ μόνον τὸ αἰσχρὸν προσῆν τῷ
πράγματι, δοῦλον ἀντ' ἐλευθέρου δοκεῖν, οἱ δὲ πόνοι
μὴ κατὰ τοὺς πάνυ τούτους οἰκέτας. ἀλλ' ὅρα, εἰ με-
τριώτερά σοι προστέτακται τῶν Δρόμωνι καὶ Τιβίῳ
προστεταγμένων. ὧν μὲν γὰρ ἕνεκα τῶν μαθημάτων

---

v. ὄψου ΕΦΑCΩ. ὄψων v. ἑάλως] ἑάλω A. ὁ λάβραξ] ὁ in litura A qui pergit αὐτὸν μάλα. τούτων] τοῦτον Ω. διαπαρεὶς] περιπαρεὶς ΩM. λιχνείας AY et fortasse ΦCΩ. λιχνίας E et edd. vett. δεθεὶς (δηθεὶς Φ) κλοιῷ ΦΑCΩ. κλοιῷ δεθεὶς v. attico κλῳὸς (Arist. Vesp. 897 al.) Lucianus abstinuit. σεαυτῷ ΦΑΩΔ. σαυτῷ v. ἡ δ'] ἡ δὲ ΦΑ. φράτορσι] id Cobetus V. L. p. 350 Luciano condonat, Dindorfius non item.

25. τῷ πράγματι, δοῦλον] malim τῷ πράγματι, τὸ δοῦλον, quum infinitivus δοκεῖν ab superiore τὸ αἰσχρὸν pendeat. Τιβίῳ] τιβείῳ Φ. ὧν μὲν γὰρ ἕνεκα τῶν μαθημάτων] cave ἕνεκα deleas, cui verba ἐπιθυμεῖν (scil. αὐτῶν) φήσας non repugnant, et quod de eadem re supra ponitur c. 13: ὧν ἕνεκα τὴν ἀρχὴν παρελήφθης. Cobeti vero V. L. p. 296 conjectura verba ἕνεκα τῶν μαθημάτων delentis nihil vidi infelicius. hoc dicit Lucianus: τῶν μὲν γὰρ μαθημάτων, ὧν ἕνεκα —, sed pervulgata utitur attractione, prorsus ut Sophocles in Antig. v. 400, ubi scholiasta

ἐπιθυμεῖν φήσας παρείληφέ σε, ὀλίγον αὐτῷ μέλει. τί
γὰρ κοινὸν, φασὶ, λύρᾳ καὶ ὄνῳ; πάνυ γοῦν * οὐχ ὁρᾷς; 682
ἐκτετήκασι τῷ πόθῳ τῆς Ὁμήρου σοφίας ἢ τῆς Δημο-
σθένους δεινότητος ἢ τῆς Πλάτωνος μεγαλοφροσύνης,
ὧν ἤν τις ἐκ τῆς ψυχῆς ἀφέλῃ τὸ χρυσίον καὶ τὸ ἀργύριον
καὶ τὰς περὶ τούτων φροντίδας, τὸ καταλειπόμενόν ἐστι
τῦφος καὶ μαλακία καὶ ἡδυπάθεια καὶ ἀσέλγεια καὶ ὕβρις
καὶ ἀπαιδευσία. δεῖται δή σου ἐπ' ἐκεῖνα μὲν οὐδαμῶς·
ἐπεὶ δὲ πώγωνα ἔχεις βαθὺν καὶ σεμνός τις εἶ τὴν
πρόσοψιν καὶ ἱμάτιον Ἑλληνικὸν εὐσταλῶς περιβέβλησαι
καὶ πάντες ἴσασί σε γραμματικὸν ἢ ῥήτορα ἢ φιλόσο-
φον, καλὸν αὐτῷ δοκεῖ ἀναμεμίχθαι καὶ τοιοῦτόν τινα
τοῖς προϊοῦσι καὶ προπομπεύουσιν αὐτοῦ· δόξει γὰρ ἐκ
τούτου καὶ φιλομαθὴς τῶν Ἑλληνικῶν μαθημάτων καὶ
ὅλως περὶ παιδείαν φιλόκαλος· ὥστε κινδυνεύεις, ὦ γεν-
ναῖε, ἀντὶ τῶν θαυμαστῶν λόγων τὸν πώγωνα καὶ τὸν
τρίβωνα μεμισθωκέναι. χρὴ οὖν σε ἀεὶ σὺν αὐτῷ ὁρᾶ-
σθαι καὶ μηδέποτε ἀπολείπεσθαι, ἀλλ' ἕωθεν ἐξανα-
στάντα παρέχειν σεαυτὸν ὀφθησόμενον ἐν τῇ θεραπείᾳ
καὶ μὴ λιπεῖν τὴν τάξιν. ὁ δ' ἐπιβάλλων ἐνίοτέ σοι τὴν
χεῖρα, ὅ,τι ἂν τύχῃ, ληρεῖ τοῖς ἐντυγχάνουσιν ἐπιδεικνύ-
μενος, ὡς * οὐδ' ὁδῷ βαδίζων ἀμελής ἐστι τῶν μουσῶν 683
ἀλλ' εἰς καλὸν τὴν ἐν τῷ περιπάτῳ διατίθεται σχολήν.

---

versum Cratini apte contulit, ut Plato ap. Heindorfium ad Gorgiam p. 121 aliique scriptores in Matthiae Gr. Gr. § 474 p. 887 ed. sec.

πάνυ γοῦν, οὐχ ὁρᾷς; ἐκτετήκασι] πάνυ γὰρ ὡς ὁρᾷς, ἐντετήκασι M multiplici errore. vide quae dixi in Quaestt. Luc. p. 86 sq. ἢ τῆς Δημοσθ.] καὶ τῆς Δημοσθ. Ω. ὧν ἤν τις — τὸ καταλειπόμενόν ἐστι] noster in Prometheo II c. 8 med., Icaromen. c. 29, Polybius III, 31 fin., Theophilus comicus ap. Athen. XIII p. 563 f v. 3 sq. προϊοῦσι] προσιοῦσι T. παιδείαν] παιδιὰν A. φιλομαθὴς — καὶ — φιλόκαλος] vide Luc. Scytham c. 1: φιλόκαλος ἀνὴρ καὶ ἐπιτηδευμάτων φιλομαθὴς τῶν ἀρίστων et Galenum T. XIV p. 627 ed. Kühn: Βοηθὸς ὑπατικὸς ἀνὴρ, ὅπως μὲν ἦν φιλόκαλός τε καὶ φιλομαθὴς οἶσθα καὶ σύ. κινδυνεύεις] κινδυνεύσεις AC. ἀεὶ οὖν αὐτῷ] οὖν αὐτῷ ἀεὶ Ω. ἀλλ' ἕωθεν Ω et v. ἀλλὰ ἕωθεν ΦA. ὁ δ'] ὁ δὲ AΩ. ἐνίοτε] ἐνί ὁτέ E.

τύχῃ EAV. τύχοι Ω et v. et fortasse Φ. οὐδ' ὁδῷ v. et fortasse Φ. οὐδὲ ὁδῷ ACΩM. καλὸν] καλῶν a.

26. σὺ δ' ἄθλιος τὰ μὲν παραδραμών, τὰ δὲ βάδην ἄναντα πολλὰ καὶ κάταντα (τοιαύτη γάρ, ὡς οἶσθα, ἡ πόλις) περιελθὼν ἱδρωκάς τε καὶ πνευστιᾷς, κἀκείνου ἔνδον τινὶ τῶν φίλων, πρὸς ὃν ἦλθε, διαλεγομένου, μηδ' ὅπου καθίζῃς ἔχων, ὀρθὸς ὑπ' ἀπορίας ἀναγιγνώσκεις τὸ βιβλίον προχειρισάμενος. ἐπειδὰν δὲ ἄσιτόν τε καὶ ἄποτον ἡ νὺξ καταλάβῃ, λουσάμενος πονηρῶς ἀωρὶ περὶ αὐτό που σχεδὸν τὸ μεσονύκτιον ἥκεις ἐπὶ τὸ δεῖπνον. οὐκέθ' ὁμοίως ἔντιμος οὐδὲ περίβλεπτος τοῖς παροῦσιν· ἀλλ' ἤν τις ἄλλος ἐπεισέλθῃ νεαλέστερος, ἐς τοὐπίσω σὺ καὶ ἐς τὴν ἀτιμοτάτην γωνίαν ἐξωσθείς, οὕτω κατάκεισαι, μάρτυς μόνον τῶν παραφερομένων, τὰ ὀστᾶ, εἰ ἐφίκοιτο μέχρι σοῦ, καθάπερ οἱ κύνες περιεσθίων ἢ τὸ σκληρὸν τῆς μαλάχης φύλλον, ᾧ τὰ ἄλλα ἐνειλοῦσιν, εἰ ὑπεροφθείη ὑπὸ τῶν προκατακειμένων, ἄσμενος ὑπὸ
684 λιμοῦ παροψώμενος. οὐ μὴν οὐδ' * ἡ ἄλλη ὕβρις ἀπε-

26. σὺ δ' ἄθλιος] σὺ δ' ὁ ἄθλιος Struvius L. L. p. 236 sq ἄναντα πολλὰ] malim πολλὰ ἄναντα ex ipso Hom. Il. ψ', 156. ὡς οἶσθα] ὡς ᾔσθα Φ. μηδ' ὅπου] μηδὲ ὅπου ΦACΩ. καθίζῃς EC. καθέζῃς A (ita A). καθίζοις Ω. καθίσῃς MUV. καθίζεις Φ et edd. vett. ὀρθὸς] ὀρθῶς AC. suppleo: ὀρθὸς [ἑστὼς] ob verbi καθίζῃς oppositionem. ἀναγινώσκεις EΦ et sec m A.
ἐπειδὰν δὲ] collato Longolii codice malim: ἐπειδὰν δέ σε. ἄσιτόν τε] ἄσιτόν σε U. οὐκέθ' pro οὐκ ἔθ' A. παροῦσιν] παριοῦσιν Y. ἐς τοὐπίσω σὺ καὶ ἐς τὴν ἀτιμοτάτην γωνίαν ἐξωσθείς, οὕτω] vocem οὕτως post ἐξωσθεὶς transposui. quae in libris legitur post ἐς τοὐπίσω σὺ καί, quo loco et male interrupta sunt verba ἐς τοὐπίσω σὺ καὶ ἐς τὴν ἀ. γωνίαν et vero ibidem οὕτως plane ineptum est. οὕτως et ὧδε post participia non sine vi poni solent ut in Aesch. Prometh. v. 315. in nostri Gallo c. 13 init. p. 123 idem vitium correxi. ἐφίκοιτο EΦACΩa. ἀφίκοιτο v. τὸ σκληρὸν] τὸ σκηρὸν Φ. τὰ ἄλλα] corruptum est. male Casaubonus τοὺς ἀλλᾶντας, etsi cibi genus haud dubie latet. similiter Athenis ἐγκεφάλου θρῖον, cibus egregius ficus foliis involvi solebat, ut ad Aristoph. Ranas v. 134 ostendi. ἐνειλοῦσιν] ita Cobetus V. L. p. 240. libri συνειλοῦσιν, pro quo Casaubonus non bene εἰλοῦσιν. ὑπὸ λιμοῦ ACΩ et v. ὑπὸ τοῦ λοιμοῦ Φ. hoc est ὑπὸ τοῦ λιμοῦ, lectio non mala. παροψώμενος Jensius. παροψόμενος Φ. παραψόμενος EACΩ edd. vett. παραψάμενος VTd. et παροψᾶσθαι et ἐποψᾶσθαι verba usitata sunt. οὐδ'

στιν, ἀλλ' οὔτε ᾠὸν ἔχεις μόνος, (οὐ γὰρ ἀναγκαῖόν
ἐστι καὶ σὲ τῶν αὐτῶν ἀεὶ τοῖς ξένοις καὶ ἀγνώστοις
ἀντιποιεῖσθαι· ἀγνωμοσύνη γὰρ δὴ τοῦτό γε) οὔτε ἡ
ὄρνις ὁμοία ταῖς ἄλλαις, ἀλλὰ τῷ μὲν πλησίον παχεῖα
καὶ πιμελὴς, σοὶ δὲ νεοττὸς ἡμίτομος ἢ φάττα τις ὑπό-
σκληρος, ὕβρις ἄντικρυς καὶ ἀτιμία. πολλάκις δὲ ἣν ἐπι-
λίπῃ τι ἄλλου τινὸς αἰφνιδίως ἐπιπαρόντος, ἀράμενος ὁ
διάκονος τὰ σοὶ παρακείμενα φέρων ἐκείνῳ παρέθηκεν
ὑποτονθορύσας, σὺ γὰρ ἡμέτερος εἶ. τεμνομένου μὲν γὰρ
ἐν τῷ μέσῳ ἢ συὸς ὑπογαστρίου ἢ ἐλάφου, χρὴ ἐκ παντὸς
ἢ τὸν διανέμοντα ἵλεων ἔχειν ἢ τὴν Προμηθέως μερίδα φέ-
ρεσθαι, ὀστᾶ κεκαλυμμένα τῇ πιμελῇ. τὸ γὰρ τῷ μὲν ὑπέρ 685
σε τὴν λοπάδα * παρεστάναι, ἔστ' ἂν ἀπαγορεύσῃ ἐμφο-
ρούμενος, σὲ δ' οὕτω ταχέως παραδραμεῖν, τίνι φορητὸν
ἐλευθέρῳ ἀνδρὶ, κἂν ὁπόσην αἱ ἔλαφοι τὴν χολὴν ἔχοντι;
καίτοι οὐδέπω ἐκεῖνο ἔφην, ὅτι τῶν ἄλλων ἥδιστόν τε καὶ
παλαιότατον οἶνον πινόντων μόνος σὺ πονηρόν τινα καὶ
παχὺν πίνεις, θεραπεύων ἀεὶ ἐν ἀργύρῳ ἢ χρυσῷ πίνειν,
ὡς μὴ ἐλεγχθείης ἀπὸ τοῦ χρώματος οὕτως ἄτιμος ὢν
συμπότης· καὶ εἴθε γε κἂν ἐκείνου ἐς κόρον ἦν πιεῖν, νῦν δὲ
πολλάκις αἰτήσαντος, ὁ παῖς „οὐδ' ἀΐοντι ἔοικεν.“ 27.
ἀνιᾷ δή σε πολλὰ καὶ ἀθρόα καὶ σχεδὸν τὰ πάντα, καὶ

ἡ] οὐδὲ ἡ ΦΑΩ. γὰρ δὴ] ita correxi in Quaestt. Luc. p. 157. libri γάρ σή. πλησίον ΕΦΑΩV. πλουσίῳ v. ὑπόσκληρος] ὑπόκληρος A. ἣν ἐπιλίπῃ τι] ita correxi partim cum Dindorfio, qui ἣν ἐπιλίπῃ. ἐπεὶ λίποιτ' Φ. ἐπὴν λίποι Ω. ἐπεὶ λίποι ΕΑ. ἣν ἐπιλίποι v. vide Aristoph. Plut. v. 554. ἐπιπαρόντος ΕΦΑCΩΤ. ἐπὶ παρόντος edd. vett. παριόντος Y. optime Solanus nostri Convivium c. 20 fin. contulit. παρέθηκεν Φ. παρατέθεικεν A et v. μερίδα] μοῖραν Ω, sed aptius est vulgatum. τὸ γὰρ τῷ] γὰρ τῷ T. τῳ pro τῷ V. ὑπέρ σε] Bekker pro ὑπὲρ σὲ —. τὴν λοπάδα] patinam nominat pro patinae ministro. vide Saturnal. c. 22 et ibid. c. 32. σὲ δ'] σὲ δὲ A. οὐ δὲ Ω.

ὁπόσην] ὁπόσοι ΕΑ. πίνειν] τοῦ οἴνου add. Y. συμπότης Φ. ξυμπότης A et v. ἐς κόρον] εἰς κόρον A. οὐδ'] οὐδὲ AC. illud οὐδ' ἀΐοντι ἔοικεν finxit ex Il. ψ', 430 eodemque in l. De Domo c. 18 adluditur.

27. γραμματίδια] γραμματείδια pr m E. interpungebatur πόθεν σύ γ' ἰσότιμος κατακείμενος; etiam qui κατακείμενος. in A.

μάλιστα ὅταν σε παρευδοκιμῇ κίναιδός τις ἢ ὀρχηστοδι-
686 δάσκαλος ἢ Ἰωνικὰ ξυνείρων Ἀλεξανδρεωτικὸς * ἀνθρω-
πίσκος· τοῖς μὲν γὰρ τὰ ἐρωτικὰ ταῦτα διακονουμένοις
καὶ γραμματίδια ὑπὸ κόλπου διακομίζουσι πόθεν σύ γ'
ἰσότιμος; κατακείμενος τοιγαροῦν ἐν μυχῷ τοῦ συμπο-
σίου καὶ ὑπ' αἰδοῦς καταδεδυκὼς στένεις ὡς τὸ εἰκὸς
καὶ σεαυτὸν οἰκτείρεις καὶ αἰτιᾷ τὴν τύχην, οὐδ' ὀλίγα
σοι τῶν χαρίτων ἐπιψεκάσασαν. ἡδέως δ' ἄν μοι δοκεῖς
καὶ ποιητὴς γενέσθαι τῶν ἐρωτικῶν ᾀσμάτων ἢ κἂν
ἄλλου ποιήσαντος δύνασθαι ᾄδειν δεξιῶς· ὁρᾷς γὰρ οἷ
τὸ προτιμᾶσθαι καὶ εὐδοκιμεῖν ἐστιν. ὑποσταίης δ' ἄν,
εἰ καὶ μάγον ἢ μάντιν ὑποκρίνασθαι δέοι τῶν κλήρους
πολυταλάντους καὶ ἀρχὰς καὶ ἀθρόους τοὺς πλούτους
ὑπισχνουμένων· καὶ γὰρ αὖ καὶ τούτους ὁρᾷς εὖ φερο-
μένους ἐν ταῖς φιλίαις καὶ πολλῶν ἀξιουμένους. κἂν ἕν
τι οὖν τούτων ἡδέως ἂν γένοιο, ὡς μὴ ἀπόβλητος καὶ
περιττὸς εἴης· ἀλλ' οὐδὲ πρὸς ταῦτα ὁ κακοδαίμων πι-
θανὸς εἶ. τοιγαροῦν ἀνάγκη μειοῦσθαι καὶ σιωπῇ ἀνέ-
687 χεσθαι ὑποιμώζοντα καὶ ἀμελούμενον. * 28. ἢν μὲν
γὰρ κατείπῃ σού τις ψίθυρος οἰκέτης, ὡς μόνος οὐκ

---

ego ne vitiosa sit καὶ particula, interduetum sic mutavi: πόθεν σύ γ' ἰσότιμος; κατακείμενος τοιγαροῦν ἐν μ. nam τοιγαροῦν saepe etiam postponitur, veluti supra c. 24: παρὰ πόδας τοιγαροῦν —, quo in l. idem A in textu τοιγαρ͂ et in marg ροῦν non breviatum.

καταδεδυκὼς] καταδεδοικὼς ΕΑ. οὐδ'] οὐδὲ Α. ἐπιψεκάσασαν] ἐπισκευάσασαν TUYV. ceterum Dindorfius ἐπιψακάσασαν attice. δοκεῖς Φa et fortassis Ω. reliquae edd. vett. et EA δοκῇς. καὶ ποιητὴς] corrigo: ἢ ποιητὴς —. ᾄδειν δεξιῶς] libri ᾄδειν ἀξίως. correxit Jacobsius Append. ad Porsoni Advers. p. 291: „exspectabam, inquit, ᾄδειν δεξιῶς. Adv. Indoct. § 10: ἀλλ' οὗτός γε ᾄσας δεξιῶς καὶ κιθαρίσας.“ actum egit Cobetus V. L. p. 240. libri corrupte: ὁρᾷς γάρ οἷ praeter U, qui: ὁρᾷς γὰρ οὖν. conjectura mea pristina (Quaest. L. p. 157): ὁρᾷς γὰρ οἷον — ab Dindorfio aliisque recepta roi parum convenit. hodie conjicio: ὁρᾷς γὰρ οἵων sive ὁρᾷς γὰρ πρὸς οἵων —. vide locum unum de multis Aristoph. Equit. v. 191 sq. δ' ἄν] δὲ ἂν Α. in Ω δ' omissum. ἕν τι οὖν ΕΦΑΩ. ἕν τι γοῦν v. μειοῦσθαι — ἀμελούμενον] magis rhetoricum fuerit: τ. ἀ. μειοῦσθαι ὑποιμώζοντα καὶ σιωπῇ ἀνέχεσθαι ἀμελούμενον. quamquam in talibus Lucianus ipse poterit errasse.

ἐπήνεις τὸν τῆς δεσποίνης παιδίσκον ὀρχούμενον ἢ κιθαρίζοντα, κίνδυνος οὐ μικρὸς ἐκ τοῦ πράγματος. χρὴ οὖν χερσαίου βατράχου δίκην διψῶντα κεκραγέναι, ὡς ἐπίσημος ἔσῃ ἐν τοῖς ἐπαινοῦσι καὶ κορυφαῖος ἐπιμελούμενον, πολλάκις δὲ καὶ τῶν ἄλλων σιωπησάντων αὐτὸν ἐπειπεῖν ἐσκεμμένον τινὰ ἔπαινον πολλὴν τὴν κολακείαν ἐμφανιοῦντα. τὸ μὲν γὰρ λιμῷ συνόντα καὶ νὴ Δία γε διψῶντα μύρῳ χρίεσθαι καὶ στεφανοῦσθαι τὴν κεφαλὴν, ἠρέμα γελοῖον· ἔοικας γὰρ τότε στήλῃ ἑώλου τινὸς νεκροῦ ἄγοντος ἐναγίσματα. καὶ γὰρ ἐκείνου καταχέαντες μύρον καὶ στέφανον ἐπιθέντες αὐτοὶ πίνουσι καὶ εὐωχοῦνται τὰ παρεσκευασμένα. 29. *ἢν δὲ καὶ ζηλότυπός τις ᾖ καὶ παῖδες εὔμορφοι ὦσιν ἢ νέα γυνὴ,*

---

28. *ἐπήνεις* ΕΦΑCΩΔ. *ἐπήνεσας* v. *διψῶντα*] *διψῶτος* (sic) Y. *ὡς ἐπίσημος — ἐπιμελούμενον*] *ὡς ἐπίσημος ἔσῃ καὶ κορυφαῖος τοῖς* (sic) *ἐπαινοῦσιν ἐπιμελούμενον* Φ. verba *ἐπίσημος ἔσῃ καὶ κορυφαῖος* conjuncta legit etiam scholiasta Vossianus. *ἐπιμελούμενον*] *ἐπιμελούμενος* V. *ἐπιλελασμένον* Ω. *πολλὴν τὴν*] *πολλὰ τὴν* Α. *ἐμφανιοῦντα*] ut futurum tollatur, scribo aut *ἐμφανίζοντα* aut cum Cobeto V. L. p. 240: *ἐμφαίνοντα*. *συνόντα* Φ. *ξυνόντα* A et v. *ἠρέμα γελοῖον*] ita correxi. libri *ἠρέμα καὶ γελοῖον*. vide nostri Imagines c. 8: *ἠρέμα πεφοινιγμένῳ* et Pollucem VI, 165: *τὸ γὰρ „τριπέρνοιν“ ἠρέμα φορτικόν*. ejusdem generis haec sunt Alexidis ap. Athen. IX p. 383. d (v. 12): *ἔγχυλα δ' ἀτρεμεὶ* (*τὰ κρεάδια*) et de latinis Livianum 38, 20: „placide adclivos — colles.“ nam verbis solis, non item adjectivis *ἠρέμα καὶ* praeponitur, ut ab nostro in Icaromen. c. 9. ceterum quum Koenius ad Gregor. Cor. p. 26 infeliciter conjecisset h. l. *χρῆμα παγγέλοιον* atque id ipsum Gailius quasi e cod. Parisino et eo „excellente“ sumtum probasset: error Gaili et falsi levitas a Bastio l. l. optime refutata est. *νεκροῦ ἄγοντος ἐναγίσματα*] difficile dictu est, quid Courieri ad Asinum p. 312 conjectura: *νεκροῦ ἀγόντων ἐναγίσματα* sibi velit. immo eandem fere vim habet proverbium *ὄνος ἄγων μυστήρια*, quod ad Arist. Ran. v. 159 cum hisce verbis comparavi. *καὶ γὰρ ἐκείνου*] *γὰρ* om Ω. *μύρον*] *μῦρον* Α. *καὶ στέφανον*] ita correxi. libri *καὶ τὸν στέφανον*. *ἐπιθέντες*] *ἐπιτιθέντες* Φ.

29. *ἢν δὲ καὶ*] ita correxi. libri *ἢν μὲν γὰρ καὶ*, errore nato ut videtur e c. 28 init: *ἢν μὲν γὰρ κατείπῃ*, cui loco haec nostra potius opposita sunt. neque vulgatam firmant superiora c. 27: *τοῖς μὲν γὰρ* — vel c. 28 fin. *πόρρω* ΕΤΦΑCΩ et v. *ἔξω* a. *ἔχω*

καὶ σὺ μὴ παντελῶς πόρρω Ἀφροδίτης καὶ Χαρίτων ἧς,
688 οὐκ ἐν εἰρήνῃ τὸ πρᾶγμα οὐδ' ὁ κίνδυνος * εὐκαταφρόνητος. ὦτα γὰρ καὶ ὀφθαλμοὶ βασιλέως πολλοί, οὐ μόνον τἀληθῆ ὁρῶντες, ἀλλ' ἀεί τι καὶ προσεπιμετροῦντες, ὡς μὴ νυστάζειν δοκοῖεν. δεῖ οὖν ὥσπερ ἐν τοῖς Περσικοῖς δείπνοις κάτω νεύοντα κατακεῖσθαι, δεδιότα μή τίς σε εὐνοῦχος ἴδῃ προσβλέψαντα μιᾷ τῶν παλλακίδων, ἔπειτ' ἀπολέσῃ σε ὁ εὐνοῦχος ἐντεταμένον πάλαι τὸ τόξον ἔχων ἃ μὴ θέμις ὁρῶντα, διαπείρας τῷ οἰστῷ μεταξὺ πίνοντος τὴν γνάθον. 30. εἶτ' ἀπελθὼν τοῦ δείπνου μικρόν τι κατέδαρθες. ὑπὸ δ' ᾠδὴν ἀλεκτρυόνων ἀνεγρόμενος, ὦ δείλαιος ἐγώ, φῄς, καὶ ἄθλιος, οἵας τὰς πάλαι διατριβὰς ἀπολιπὼν καὶ ἑταίρους καὶ βίον ἀπράγμονα καὶ ὕπνον μετρούμενον τῇ ἐπιθυμίᾳ καὶ περι-

---

οε

(sic) Y. Χαρίτων] χαρίτωνος A, h. o. χαρίτων, sive χαρίτων et supra χάριτος. attamen χάριτος falsum est. οὐδ' ὁ] οὐδὲ ὁ ΦΑΩ. κατακεῖσθαι] κατακλεῖσθαι A. σε εὐνοῦχος Ω. εὐνοῦχός σε A et v. libri ἐπεὶ ἄλλος γε εὐνοῦχος. correxi: ἔπειτ' ἀπολέσῃ σε ὁ εὐνοῦχος et ἔπειτα saltem pro ἐπεὶ recte jam Pelletus. quum hic per unum omnia eunuchum gerantur non per duo, ἄλλος sequitur absurdum esse. sed inveniri hoc vitium non potuit ut locis quaesitum alienis. nam et Solanus aliiquo διαπείρας frustra mutabant, et Bekker post ὁρῶντα aliquid (velut ἕτοιμος κολάσαι) excidisse putabat, et alius conjector jam olim supplebat: τὴν γνάθον [ἔτρωσεν.] διαπείρας] διαπήρας E. τῷ οἰστῷ μεταξὺ Jacobitius. τῷ ὀϊστῷ, τῷ μεταξὺ Φ. τῷ ὀϊστῷ μεταξὺ A et v. γνάθον] γνάθον ἔτρωσεν Y.

30. γνάθον. εἶτ'] Juntinae editor, qui asteriscum hic ad marginem posuit ut in lacuna, forsitan (sicuti complures) nihil aliud quam verbum in codd. male omissum loco quaesierit alieno. sunt tamen haec etiam alioqui paene abrupta, quum longa narratio, quae jam c. 26 init. (ἐπειδὰν δὲ —) incepit, hic finiatur. quare lacuna non est illa quidem certa aut necessaria, at non improbabile tamen, tale quiddam supplendum esse: τὴν γνάθον. [τοιαῦτα πολλά σε πάσχειν καὶ ποιεῖν ἀνάγκη.] εἶτ' ἀπελθὼν —. certe post narrationes Lucianus ita solet, v. c. supra c. 19 init., infra c. 35 init., De Conscr. Hist. c. 32 init., De Electro c. 6. εἶτ'] εἶτα ΦΑ. κατέδαρθες] κατέδραθες Ω. δ' ᾠδὴν] δὲ ᾠδὴν ΦΑΩ. ὦ δείλαιος om sed rec m marg adscr Ω. φῄς] φησὶ Φ. ἐλευθέρους Φ et v. probante Cobeto V. L. p. 240. ἐλευθερίους EACΩT.

πάτους ἐλευθέρους, εἰς οἷον βάραθρον φέρων ἐμαυτὸν
ἐνσέσεικα. τίνος * ἕνεκα, ὦ θεοί, ἢ τίς ὁ λαμπρὸς οὗ- 689
τος μισθός ἐστιν; οὐ γὰρ καὶ ἄλλως μοι πλείω τούτων
ἐκπορίζειν δυνατὸν ἦν καὶ προσῆν τὸ ἐλεύθερον καὶ τὸ
πάντα ἐπ' ἐξουσίας; νῦν δὲ τὸ τοῦ λόγου, λέων κρόκῃ
δεθείς, ἄνω καὶ κάτω περισύρομαι, τὸ πάντων οἴκτιστον,
οὐδ' εὐδοκιμεῖν εἰδὼς οὐδὲ κεχαρισμένος εἶναι δυνάμενος.
ἰδιώτης γὰρ ἔγωγε τῶν τοιούτων καὶ ἄτεχνος, καὶ μά-
λιστα παραβαλλόμενος ἀνδράσι τέχνην τὸ πρᾶγμα πε-
ποιημένοις· ὥστε καὶ ἀχάριτός εἰμι καὶ ἥκιστα συμπο-
τικός, οὐδ' ὅσον γέλωτα ποιῆσαι δυνάμενος. συνίημι δέ,
ὡς καὶ ἐνοχλῶ πολλάκις βλεπόμενος, καὶ μάλισθ' ὅταν
ἡδίων αὐτὸς αὑτοῦ εἶναι θέλῃ· σκυθρωπὸς γὰρ αὐτῷ δο-
κῶ, καὶ ὅλως οὐκ ἔχω ὅπως ἁρμόσωμαι πρὸς αὐτόν. ἢν
μὲν γὰρ * ἐπὶ τοῦ σεμνοῦ φυλάττω ἐμαυτόν, ἀηδὴς 690
ἔδοξα καὶ μονονουχὶ φευκτέος, ἢν δὲ μειδιάσω καὶ ῥυθ-
μίσω τὸ πρόσωπον ἐς τὸ ἥδιστον, κατεφρόνησεν εὐθὺς
καὶ διέπτυσε, καὶ τὸ πρᾶγμα ὅμοιον δοκεῖ, ὥσπερ ἂν εἴ
τις κωμῳδίαν ὑποκρίναιτο τραγικὸν προσωπεῖον περικεί-
μενος. τὸ δ' ὅλον, τίνα ἄλλον ὁ μάταιος ἐμαυτῷ βιώ-

ἐμαυτὸν ΕΑΩΥ a c. ἑαυτὸν Φ diserte et pleraeque edd. vett. οὗτος μισθός ΕΦΑCΩ. μισθὸς οὗτος v. οὐδ' εὐδ.] οὐκ εὐδ. A solus. ὥστε καὶ U probante etiam Dindorfio. ὡς δὲ καὶ A et v. ego olim conjeceram: ἐγὼ δὲ καί, J. Seager autem: ὅς γε καὶ —. ἀχάριτος (ut Solanus conjecerat) A. χάριτος Ω. ἄχαρις Y. ἀχάριστος ΕΦ et v. γέλωτα ποιῆσαι] malim: γελωτοποιῆσαι. ἐνοχλῶ] ἐν ὄχλῳ ΕΑ. αὐτὸς αὑτοῦ ΕΑC. αὐτὸς αὐτοῦ Φ et edd. vett. θέλῃ libri omnes verissime. θέλω Jensius multis probantibus, quod ab h. l. abhorrere ad Arist. Thesmoph. v. 838 monui. fuit tamen quum haec (ne verbi θέλῃ subjectum lateat) ita transponerem: σ. δ. ὡ. κ. ἐνοχλῶ πολλάκις βλεπόμενος· σκυθρωπὸς γὰρ αὐτῷ δοκῶ, καὶ μάλισθ' ὅταν ἡδίων αὐτὸς αὑτοῦ
ω
εἶναι θέλῃ· καὶ ὅλως —. ἁρμόσωμαι ΕΑ. ἁρμόσομαι Φ. ἁρμόσομαι Ω et v. ἐς τὸ Φ. εἰς τὸ A et v. διέπτυσε] — εν a. malim: καταφρονήσας εὐθὺς διέπτυσε. confer Bergierum ad Alciphron. I, 26 p. 106. ὅμοιον δοκεῖ ΦΑC et ut videtur Ω. ὅμοιόν μοι δοκεῖ v. similia haec sunt in Hermotim. c. 71: νῦν δὲ ὅμοιόν μοι δοκεῖς ποιεῖν ὥσπερ εἴ τις (corr: ὥσπερ ἂν εἴ τις) δακρύοι. τίνα ΦΑCΩa. τινὰ pleraeque edd. vett. βιώσομαι]

σομαι βίον, τὸν παρόντα τοῦτον ἄλλῳ βεβιωκώς; 31. *ἔτι*
σου ταῦτα διαλογιζομένου ὁ κώδων ἤχησε, καὶ χρὴ τῶν
ὁμοίων ἔχεσθαι καὶ περινοστεῖν καὶ ἑστάναι ὑπαλείψαν-
τά γε πρότερον τοὺς βουβῶνας καὶ τὰς ἰγνύας, εἰ θέλεις
διαρκέσαι πρὸς τὸν ἆθλον· εἶτα δεῖπνον ὅμοιον καὶ ἐς
τὴν αὐτὴν ὥραν περιηγμένον. καί σοι τὰ τῆς διαίτης
πρὸς τὸν πάλαι βίον ἀντίστροφα καὶ ἡ ἀγρυπνία δὲ καὶ
ὁ ἱδρὼς καὶ ὁ κάματος . . . ἠρέμα ἤδη ὑπορύττουσιν,
ἢ φθόην ἢ περιπνευμονίαν ἢ κώλου ἄλγημα ἢ τὴν κα-
λὴν ποδάγραν ἀναπλάττοντες. ἀντέχεις δὲ ὅμως, καὶ
πολλάκις κατακεῖσθαι δέον οὐδὲ τοῦτο συγκεχώρηται·
σκῆψις γὰρ ἡ νόσος καὶ φυγὴ τῶν καθηκόντων ἔδοξεν.
691 *ὥστ' ἐξ * ἁπάντων ὠχρὸς εἶ καὶ ἀεὶ ὅσον οὐδέπω τεθνη-*
ξομένῳ ἔοικας. 32. *καὶ τὰ μὲν ἐν τῇ πόλει ταῦτα· ἢν*
δέ ποι καὶ ἀποδημῆσαι δέῃ, τὰ μὲν ἄλλα ἑῶ· ὕοντος δὲ
πολλάκις, ὕστατος εἰσελθὼν (τοιοῦτο γάρ σοι ἀποκεκλή-

βιώσομαι A. *τίνα ἄλλον — βεβιωκώς;*] de sententia confer plane gemellum l. Antiphontis ap. Stobaeum Flor. XVI, 19 et illud Ciceronis ad Q. Fratrem III, 1, 4: „sed quando vivemus?"

31. *καὶ περινοστεῖν*] *κἂν περινοστεῖν* EA. *περινοστεῖν* (omissa particula) Ω. vitium aliquod latet. equidem conjicio: *καὶ συμπερινοστεῖν* conferoque supra c. 24: *συμπεριθεῖς.* addo Heinrichium ad Juvenal. Sat. I, 86. *καὶ ὁ κάματος*] posui hic signa lacunae. suppleo autem: *καὶ ὁ κάματος* [*τὸ σῶμα*] *ἠρέμα* —. confer supra c. 6 fin. Seageri conjectura, qui hoc vitium et ipse animadvertit: *καί σε τὰ τῆς διαίτης* — improbanda est. *ὑπορύττουσιν*] *ὑπορύπτουσιν* d. *ὥστ' ἐξ* A. *ὥστε ἐξ* v. *ὠχρὸς εἶ, καὶ ἀεὶ*] ita correxi. libri *ὠχρὸς ἀεὶ καὶ* —. at neque *εἶ* abesse potest, neque *ἀεὶ* quod delendum esse nego nisi cum proximis verbis conjungi. plane eodem modo *ἀεὶ* positum est in D. Mort. V, 2: *ἀεὶ θανόντι ἐοικώς* et ibidem VI, 4: *ἀεὶ τεθνήξεσθαι δοκῶν.*

32. *ποι* Y. *που* A et v. idem vitium in Somnio c. 11 fin. sublatum est. *δέῃ* ΕΦΑCΩ. *δέοι* v. *ὕστατος εἰσελθὼν*] ita correxi (h. e. „ultimus tu domum ingressus"). libri *ὕστατος ἐλθών.* sed *πολλάκις* atticis est „fortassis" in enuntiato hypothetico sicut h. l. „si forte pluit." (*τοιοῦτο γάρ σοι ἀποκεκλήρωται καὶ τὸ ζεῦγος*) *περιμένεις*] ita interpunxit Urbanus in Act. soc. gr. I p. 260. vulgo ita interpungitur, quasi verba *καὶ τὸ ζεῦγος περιμένεις* cohaereant. male autem Gesner haec ita vertit, ac si de exitu ex urbe et de adscensu in currum sermo esset, qui error ab Urbano

ρωται καὶ τὸ ζεῦγος) περιμένεις, ἔστ' ἂν οὐκέτ' οὔσης
καταγωγῆς τῷ μαγείρῳ σε ἢ τῷ τῆς δεσποίνης κομμω-
τῇ συμπαραβύσωσιν οὐδὲ τῶν φρυγάνων δαψιλῶς ἐπο-
βαλόντες. 33. οὐκ ὀκνῶ δέ σοι καὶ διηγεῖσθαι ὅ μοι
Θεσμόπολις οὗτος ὁ Στωϊκὸς διηγήσατο συμβὰν αὐτῷ
πάνυ γελοῖον καὶ νὴ Δί' οὐκ ἀνέλπιστον, ὡς ἂν καὶ
ἄλλῳ ταὐτὸν συμβαίη. συνῆν μὲν γὰρ πλουσίᾳ τινὶ καὶ
τρυφώσῃ γυναικὶ τῶν ἐπιφανῶν ἐν τῇ πόλει· δεῆσαν δὲ
καὶ ἀποδημῆσαί ποτε, τὸ μὲν πρῶτον ἐκεῖνο παθεῖν ἔφη
γελοιότατον, συγκαθίζεσθαι γὰρ αὐτῷ παραδεδόσθαι φι-
λοσόφῳ ὄντι κίναιδόν τινα τῶν πεπιττωμένων τὰ σκέλη
καὶ τὸν πώγωνα περιεξυρημένων· διὰ τιμῆς δ' αὐτὸν
ἐκείνη ὡς τὸ εἰκὸς ἦγε, καὶ τοὔνομα δὲ τοῦ κιναίδου
ἀπεμνημόνευε, Χελιδόνιον γὰρ καλεῖσθαι. * τοῦτο τοί- 692
νυν πρῶτον ἡλίκον, σκυθρωπῷ καὶ γέροντι ἀνδρὶ καὶ
πολιῷ τὸ γένειον (οἶσθα δὲ ὡς βαθὺν πώγωνα καὶ σεμ-
νὸν ὁ Θεσμόπολις εἶχε) παρακαθίζεσθαι φῦκος ἐντε-
τριμμένον καὶ ὑπογεγραμμένον τοὺς ὀφθαλμοὺς καὶ

---

non correctus est. at recte G. Hermannus me monuit de adventu in hospitium hic agi, totum ille locum ita circumscribens: „quum pluit, postremus in deversorium veniens (talia enim etiam iumenta tibi obtigerunt, tarda scilicet et invalida) exspectas, usque dum propter spatii angustias cum coquo te vel cinerario in angulum aliquem compingant, ne lignis quidem satis quibus te calefacias datis." ex his apparebit, paullo ante ὕστατος εἰσελθὼν necessario scribendum esse. οὐκέτ' ΦΑ. οὐκ ἔτ' v. συμπαραβύσωσιν] παραβύσωσιν Ω. ὑποβαλόντες A et v. ὑποβάλλοντες ΦΩ.

33. οὐκ ὀκνῶ — διηγήσατο] affert e Luciano grammaticus Hermanni De E. R. G. G. p. 375, qui pro ὅ legit ἃ —. διηγεῖσθαι] ita conjeci. διήγασθαι A. διηγήσασθαι v et grammaticus Hermanni. ejusdemne verbi aoristum: οὐκ ὀκνῶ διηγήσασθαι ὅ διηγήσατο temere iteratum esse? — συμβὰν Dindorfius pro ξυμβάν.

συγκαθίζεσθαι] συγκαθέζεσθαι ΕΑΩ. γὰρ αὐτῷ] ita correxi. libri παρ' αὐτῷ (αὐτῶ a). δ' αὐτὸν A. δὲ αὐτὸν v. ἦγε] ἦγεν a. διὰ τιμῆς — ἀπεμνημόνευε] affert grammaticus Hermanni p. 383 ubi scriptum: καὶ τοὔνομα τῆς κιναίδου ἀπεμνημόνευεν. Χελιδόνιον] χεληδόνιον A. ἡλίκον] κακὸν addit Δ. σκυθρωπῷ] σκυθρωπὸν a. παρακαθίζεσθαι ΕΦΑCΩΤUVd. παρακαθέζεσθαι edd. vett. φῦκος Lehmannus pro φύκος. γῦπα Jacobitius pro

διασεσαλευμένον τὸ βλέμμα καὶ τὸν τράχηλον ἐπικεκλασμένον, οὐ χελιδόνα μὰ Δί', ἀλλὰ γῦπά τινα περιτετιλμένον τοῦ πώγωνος τὰ πτερὰ, καὶ εἴ γε μὴ πολλὰ δεηθῆναι αὐτοῦ, καὶ τὸν κεκρύφαλον ἔχοντα ἐπὶ τῇ κεφαλῇ ἂν συγκαθίζεσθαι· τὰ δ' οὖν ἄλλα παρ' ὅλην τὴν ὁδὸν μυρίας τὰς ἀηδίας ἀνασχέσθαι ὑπᾴδοντος καὶ τερετίζοντος, εἰ δὲ μὴ ἐπεῖχεν αὐτὸς, ἴσως ἂν καὶ ὀρχουμένου ἐπὶ τῆς ἀπήνης. ἕτερον δ' οὖν τι καὶ τοιοῦτον αὐτῷ προσταχθῆναι· 34. καλέσασα γὰρ αὐτὸν ἡ γυνή· Θεσμόπολι, φησὶν, οὕτως ὄναιο, χάριν οὐ μικρὰν αἰτούσῃ δὸς μηδὲν ἀντειπὼν μηδ' ὅπως ἐπὶ πλεῖόν σου δεήσομαι περιμείνας. τοῦ δὲ, ὅπερ εἰκὸς ἦν, ὑποσχομένου πάντα πράξειν· δέομαί σου τοῦτ', ἔφη, χρηστὸν ὁρῶσά σε καὶ ἐπιμελῆ καὶ φιλόστοργον· τὴν κύνα ἣν οἶσθα τὴν Μυρρίνην ἀναλαβὼν ἐς τὸ ὄχημα φύλαττέ μοι καὶ ἐπιμελοῦ
693 ὅπως μηδενὸς ἐνδεὴς ἔσται· * βαρύνεται γὰρ ἡ ἀθλία τὴν γαστέρα καὶ σχεδὸν ὡς ἐπίτεξ ἐστίν· οἱ δὲ κατάρατοι οὗτοι καὶ ἀπειθεῖς οἰκέται οὐχ ὅπως ἐκείνης, ἀλλ' οὐδ' ἐμοῦ αὐτῆς πολὺν ποιοῦνται λόγον ἐν ταῖς ὁδοῖς. μὴ τοίνυν τι σμικρὸν οἰηθῇς εὖ ποιήσειν με τὸ περισπούδαστόν μοι καὶ ἥδιστον κυνίδιον διαφυλάξας. ὑπέσχετο ὁ Θεσμόπολις πολλὰ ἱκετευούσης καὶ μονονουχὶ καὶ δακρυούσης. τὸ δὲ πρᾶγμα παγγέλοιον ἦν, κυνίδιον

γῦπα. τινα] om Ω. compara cum his Aristoph. Avib. v. 806: οὐ δὲ κοψίχῳ γε (ἔοικας) σκάφιον ἀποτετιλμένῳ. δεηθῆναι libri (δεηθῆνε c), quod defendi posse in Quaestt. L. p. 149 ostendi. ἐδεήθη Brodaeus leni conjectura. συγκαθίζεσθαι EAC. συγκαθέζεσθαι v. ἀηδίας] ἀηδείας E. ὑπ' ᾄδοντος V. τερετίζοντος ΕΦΑCΩ. τερεττίζοντος edd. vett. ἐπεῖχεν αὐτὸς] corrigo: ἐπεῖχεν αὐτὸν —.

34. δὸς] καὶ δὸς V. μηδ' ὅπως] μηδὲ ὅποις ΦAC. ἐπὶ πλεῖον (ἐπιπλεῖον Φ) libri. ἐπὶ πλέον Dindorfius. δεήσομαι] δεήσοιμαι V. τοῦτ'] τοῦτο ΦACΔ. μηδενὸς ἐνδεὴς (ἐνδιὴς A) A et v. ἐνδεὴς μηδενὸς Ω. οὐδ' ἐμοῦ] οὐδὲ ἐμοῦ Φ. αὐτῆς πολὺν ποιοῦνται (ποιοῦντας A) λόγον A et v. αὐτῆς ποιοῦνται λόγον πολὺν Δ. αὐτῆς ποιοῦνται λόγον Φ (ita collator, sive Φ cum Δ congruit, sive omittit πολύν). at verba πολὺν ποιεῖσθαι λόγον hoc ipso ordine etiam in Hermotimo c. 23 exstant. τι σμικρὸν] τίς μικρὸν A (ita A). προκῦπτον] προσκύπτον A.

ἐκ τοῦ ἱματίου προκῦπτον μικρὸν ὑπὸ τὸν πώγωνα καὶ
κατουρῆσαν πολλάκις, εἰ καὶ μὴ ταῦτα ὁ Θεσμόπολις
προσετίθει, καὶ βαῦζον λεπτῇ τῇ φωνῇ (τοιαῦτα γὰρ τὰ
Μελιταῖα) καὶ τὸ γένειον τοῦ φιλοσόφου περιλιχμώμενον,
καὶ μάλιστα εἴ τι τοῦ χθιζοῦ αὐτῷ ζωμοῦ ἐγκατεμέμικτο.
καὶ ὅ γε κίναιδος, ὁ ξύνεδρος, οὐκ ἀμούσως ποτὲ εἰς
τοὺς ἄλλους τοὺς παρόντας ἐν τῷ συμποσίῳ ἀποσκώπ-
των, ἐπειδὴ καὶ ἐπὶ τὸν Θεσμόπολιν καθῆκε τὸ
σκῶμμα· περὶ δὲ Θεσμόπολιδος, ἔφη, τοῦτο μό-
νον εἰπεῖν ἔχω, ὅτι ἀντὶ Στωϊκοῦ ἤδη Κυνικὸς ἡμῖν
γεγένηται. τὸ δ' οὖν κυνίδιον καὶ τετοκέναι ἐν τῷ τρί-
βωνι τῷ τοῦ Θεσμοπόλιδος ἐπυθόμην. **35.** τοιαῦτα ἐν-
τρυφῶσι, μᾶλλον δὲ ἐνυβρίζουσι τοῖς ξυνοῦσι κατὰ μικρὸν
αὐτοὺς χειροήθεις τῇ ὕβρει παρασκευάζοντες. οἶδα δ'
ἐγὼ καὶ ῥήτορα * τῶν καρχάρων ἐπὶ τῷ δείπνῳ κελευ- 694
σθέντα μελετήσαντα μὰ τὸν Δί' οὐκ ἀπαιδεύτως, ἀλλὰ
πάνυ τορῶς καὶ ξυγκεκροτημένως· ἐπῃνεῖτο γοῦν μεταξὺ
πινόντων, οὐ πρὸς ὕδωρ μεμετρημένον ἀλλὰ πρὸς οἴνου
ἀμφορέας λέγων, καὶ τοῦτο ὑποστῆναι τὸ τόλμημα ἐπὶ
διακοσίαις δραχμαῖς ἐλέγετο. ταῦτα μὲν οὖν ἴσως μέτρια.
ἢν δὲ ποιητικὸς αὐτὸς ἢ συγγραφικὸς ὁ πλούσιος ᾖ καὶ
παρὰ τὸ δεῖπνον τὰ αὑτοῦ ῥαψῳδῇ, τότε [καὶ] μάλιστα

βαῦζον] βαῦξον A pr m.   καὶ μάλιστα ΦACΩ.   μάλιστα v.   ἐγκατεμέμικτο ΦACΩ et v.   ἐγκαταμέμικτο a.   καὶ ὅ γε ΕΦACΩ. καὶ ὁ v.   ποτὲ εἰς Ω.   ποτὲ καὶ εἰς A et v.   συμποσίῳ Φ. ξυμποσίῳ A et v.   ἐπειδὴ καὶ ἐπὶ] ita correxi. libri ἐπειδὴ ποτε (ἐπειδήποτε A conjuncte) καὶ ἐπὶ —. male vulgo bis legitur ποτὲ καὶ. et priore quidem loco καὶ, altero ποτὲ delevi. nam ἐπειδή ποτε (h. e. „quum tandem aliquando") ab h. l. abhorret.

ἤδη] superscr. in Ω.   τὸ δ' οὖν A et v.   τὸ γοῦν Φ.   τὸ γ' οὖν Ω.   si haec τὸ — ἐπυθόμην verba essent cinaedi, γοῦν scribi deberet; nunc quum ipsius sint Luciani, δ' οὖν servandum est.   τῷ τοῦ ΕΦAC.   τοῦ vulgo et diserte Ω.   ἐπυθόμην] ἐπυθόμεν A.

35. καταμικρὸν conjuncte edd. vett.   καταμικρὸ (sic) Φ.   οἶδα δ' ἐγὼ] οἶδα ἐγὼ Φ.   τῷ δείπνῳ] τὸ δεῖπνον UV.   ἀλλὰ πάνυ] ἀλλὰ πάνυ μᾶλλον Δ.   μεμετρημένον] μετρήμενον Ω.   ἀμφορέας ΕΦACΩV.   ἀμφορέα v.   διακοσίαις] .σ. a.   οὖν om pr m Ω.   ᾖ καὶ παρὰ] ita correxi. libri ᾖ παρὰ —.   τὰ αὑτοῦ] τὰ αὐτοῦ ΦΑ, male. Ligurinum convivatorem versiculos suos reci-

διαρραγῆναι χρὴ ἐπαινοῦντα καὶ κολακεύοντα καὶ τρόπους ἐπαίνων καινοτέρους ἐπινοοῦντα. σὺ δ' οὖν ἐὰν μὴ ἐπαινῇς, ἐς τὰς λιθοτομίας τὰς Διονυσίου εὐθὺς ἀφίξῃ ὡς καὶ φθονῶν καὶ ἐπιβουλεύων αὐτῷ. χρὴ δὲ σοφοὺς καὶ ῥήτορας εἶναι αὐτούς, κἂν εἴ τι σολοικίσαντες τύχοιεν, αὐτὸ τοῦτο τῆς Ἀττικῆς καὶ τοῦ Ὑμηττοῦ μεστοὺς δοκεῖν τοὺς * λόγους καὶ νόμον εἶναι τὸ λοιπὸν οὕτω λέγειν. [εἰσὶ δ' οἳ καὶ ἐπὶ κάλλει θαυμάζεσθαι ἐθέλουσι, καὶ δεῖ Ἀδώνιδας αὐτοὺς καὶ Ὑακίνθους ἀκούειν, πήχεως ἐνίοτε τὴν ῥῖνα ἔχοντας.] **36.** καίτοι φορητὰ ἴσως τὰ τῶν ἀνδρῶν· αἱ δ' οὖν γυναῖκες (καὶ γὰρ αὖ καὶ τόδε ὑπὸ τῶν γυναικῶν σπουδάζεται, τὸ εἶναί τινας αὐταῖς πεπαιδευμένους ὑποτελεῖς, μισθοῦ ξυνόντας καὶ

---

tantem Martialis Epigr. III, 50 notavit. *ῥαψῳδῇ*] ita conjeci. libri *ῥαψῳδῶν*, quod participium a v. *ᾖ* pendere nequit. *τότε καὶ μάλιστα*] scribo *τότε μάλιστα*, ut est c. 37 init: *ἐνταῦθα μάλιστα.* *ἐὰν*] *ἂν* EA et fortassis *Ω.* *Διονυσίου*] *διονύσου* A. *διονυσίους Ω.* *δὲ σοφοὺς Φ.* *δὲ καὶ σοφοὺς* A et v. *καὶ ῥήτορας*] *καὶ* om a. *τύχοιεν* Schwidopius Obss. Lucian. III p. 12 adn. libri *τύχωσιν.* de re confer Juvenalem VI, 456. *αὐτὸ τοῦτο* Y. *αὐτὸ τὸ* AΦΩC et v. possis tamen etiam conjicere *αὐτόθεν* (i. e. „continuo, illico") ut scriptores latini jungere solent „si —, continuo" et inprimis „non continuo, si —". *αὐτόθεν*, quod in Icaromen. c. 5 et Toxar. c. 62 legitur, certo e codd. etiam in libro De Calumn. n. t. cred. c. 24 restituendum est. *τὸ λοιπὸν οὕτω λέγειν.*] post haec verba ego transposui illa: *εἰσὶ δ' οἳ καὶ — τὴν ῥῖνα ἔχοντας*, quae in libris omnibus paullo superius post verba *ἐπαίνων καινοτέρους ἐπινοοῦντα* posita sunt, ubi nexum sententiarum misere turbant. vitium vulgatae collocationis jam Belinus et Schmieder perspexerunt. *ἐθέλουσι*] *ἐλπίζουσι Δ.*

36. libri (etiam ΦACΩ) *δὴ οὖν.* recte *δὲ οὖν* (*δ' οὖν*) Seager. *σπουδάζεται*] ejusmodi mulierem Romanam castigat Juvenalis VI, 184 sqq. et ibid. v. 434 sqq. *ὑποτελεῖς, μισθοῦ ξυνόντας*] ita correxi. libri *μισθοῦ ὑποτελεῖς ξυνόντας*, qua perversitate et H. Stephanus in Thes. L. G. sub *Ὑποτελής* et Cobetus V. L. p. 240 recte offensi sunt. neque enim graeculi *μισθοῦ ὑποτελεῖς* dicendi erant, sed quibus serviebant mulieres. nunc verbis transpositis *ὑποτελής* h. l. idem fere est quod *ὑπήκοος*, ut ap. Thucyd. VII, 57 et Synesium Epist. XXXVIII p. 180 A itemque *ὑποτελεῖν* in nostri Anachars. c. 30 init. ita ponitur: ubique autem de horum

τῷ φορείῳ ἑπομένους· ἓν γάρ τι καὶ τοῦτο τῶν ἄλλων καλλωπισμάτων αὐταῖς δοκεῖ, ἢν λέγηται, ὡς πεπαιδευμέναι τέ εἰσι καὶ φιλόσοφοι καὶ ποιοῦσιν ᾄσματα οὐ πολὺ τῆς Σαπφοῦς ἀποδέοντα) διὰ δὴ ταῦτα μισθωτοὺς καὶ αὗται περιάγονται ῥήτορας καὶ γραμματικοὺς καὶ φιλοσόφους· ἀκροῶνται δ' αὐτῶν πηνίκα; (γελοῖον γὰρ καὶ τοῦτο) ἤτοι μεταξὺ κομμούμεναι καὶ τὰς κόμας παραπλεκόμεναι ἢ παρὰ τὸ δεῖπνον· ἄλλοτε γὰρ οὐκ ἄγουσι σχολήν. πολλάκις δὲ καὶ μεταξὺ τοῦ φιλοσόφου τι διεξιόντος ἡ ἄβρα προσελθοῦσα ὤρεξε παρὰ τοῦ μοιχοῦ γραμματεῖον, οἱ δὲ * περὶ σωφροσύνης ἐκεῖνοι λόγοι 696
ἑστᾶσι περιμένοντες, ἔστ' ἂν ἐκείνη ἀντιγράψασα τῷ μοιχῷ ἐπαναδράμῃ πρὸς τὴν ἀκρόασιν. 37. ἐπειδὰν δέ ποτε διὰ μακροῦ τοῦ χρόνου Κρονίων ἢ Παναθηναίων ἐπιστάντων πέμπηταί τί σοι ἐφεστρίδιον ἄθλιον ἢ χιτώνιον ὑπόσαθρον, ἐνταῦθα μάλιστα πολλὴν δεῖ καὶ μεγάλην γενέσθαι τὴν πομπήν. καὶ ὁ μὲν πρῶτος εὐθύς, ἔτι σκεπτομένου παρακούσας τοῦ δεσπότου προδραμὼν καὶ προμηνύσας ἀπέρχεται μισθὸν οὐκ ὀλίγον τῆς ἀγγε-

graeculorum conditione queritur servili, velut supra c. 23 sq. tum cohaerent verba *μισθοῦ ξυνόντας*, id quod etiam Cobetus l. l. vidit, qui nollem *ὑποτελεῖς* vocem prope necessariam audacter delevisset. *ἑπομένους* ΦΑΩΔV. *παρ' ἑπομένους* a b c. *παρεπομένους* v, quod ex aliis locis ut ex Hermotim. c. 9 sumtum est. *ἀποδέοντα. διὰ δὴ* (*δὲ* C) ACΩ a b c et haud dubie caeteri codices. *ἀποδέοντα καὶ διὰ δὴ* edd. Parisina et Reitziana vitio operatum. *πηνίκα*; distinxi in Quaestt. L. p. 136 addita interrogatione. *κομμούμεναι* codex Bourdeloti, tum ΕΦΑC. *κοσμούμεναι* cum rasura in primis literis Ω. *κοομούμεναι* v. vide Cobetum V. L. p. 139, qui etiam in Bis Accus. c. 31 *κομμουμένην* pro *κοσμουμένην* optime restituit. *παραπλεκόμεναι* ΕΦΑCΩΔ. *περιπλεκόμεναι* v. *ἄβρα* ΑΩ. *ἅβρα* v. *προσελθοῦσα*] *παρελθοῦσα* Ω. *παρὰ τοῦ μοιχοῦ*] de eadem re Juvenalis VI, 233: „missis a corruptore tabellis." *γραμματεῖον* ΕΦΑC. *γραμματίον* (sic) v. de eadem re supra c. 27 legas *γραμματίδια*. *ἐκεῖνοι λόγοι*] haec pisce saniora sunt: nam Cobetus V. L. p. 240 de h. l. manifesto erravit.

37. *ἔτι σκεπτομένου* UV. *ἐπισκεπτομένου* ΦΑΩ edd. vett. *ἐπισκηπτομένου* T. *προσλαβὼν* ΦΑCΩ et v. *προλαβὼν* Δ solus, quod ab nonnullis receptum est. *τρεισκαίδεκα* A. *τρισκαίδεκα*

λίας προολαβων· ἕωθεν δὲ τρεισκαίδεκα ἥκουσι κομίζον-
697 *τες, ἕκαστος ὡς πολλὰ εἶπε καὶ ὡς ὑπέμνησε * καὶ ὡς*
ἐπιτραπεὶς τὸ κάλλιον ἐπελέξατο διεξιών. ἅπαντες δ' οὖν
ἀπαλλάττονταί τι λαβόντες, ἔτι καὶ βρενθυόμενοι, ὅτι
μὴ πλείω ἔδωκας. 38. *ὁ μὲν γὰρ μισθὸς αὐτὸς κατὰ*
δύ' ὀβολοὺς ἢ τέτταρας, καὶ βαρὺς αἰτῶν σὺ καὶ ὀχλη-
ρὸς δοκεῖς. ἵνα δ' οὖν λάβῃς, κολακευτέος μὲν αὐτὸς καὶ
ἱκετευτέος, θεραπευτέος δὲ καὶ ὁ οἰκονόμος, οὗτος μὲν

---

v. ita in Aristoph. Ran. v. 50 in edit. p. 22 correxi *ναῦς — τρεισκαίδεκα* (pro *τρισκ.*) Pollucem I, 55 testatus. h. l. Bekkeri conjectura *ἑκκαίδεκα*, quacum confer Prometh. II c. 20, Timonem c. 23 fin., D. D. I, 1 nihil opus est. immo etiam *τρεισκαίδεκα* numerus est pro multis rotundus, ut in Arist. Pluto v. 846. quae res neglecta Ulrichium Hamburgensem, H. Clintonem Fast. Hellen. p. 77 ed. Krüg. alios in errorem induxit de l. Pac. v. 955: *οἵ σου (τῆς Εἰρήνης) τρυχόμεθ' ἤδη | τρία καὶ δέκ' ἔτη.* haec enim Ol. 89, 3 anno belli aut nono aut si Pythodoreus adnumeretur summum decimo scripta sunt. *ἐπελέξατο*] *ἐπελλέξατο* Φ. *δ' οὖν*] *οὖν* Ω. *ἀπαλλάττονταί τι λαβόντες,*] ita correxi. libri *ἀπαλλάττονται λαβόντες.* h. l. *τι* addendum esse etiam Bekker vidit, illud non vidit, vocabulis *ἔτι, καὶ* quam maxime opus esse. conjecit enim: *ἀπαλλάττονται λαβόντες τι καὶ βρ.* *βρενθυόμενοι*] in scholio ad h. l. *βρένθυον δὲ μύρον τῶν παχέων* fugit editores certa Hemsterhusi ad D. Mort. X, 8 emendatio *βρένθειον.* de ipso verbo *βρενθύεσθαι* unus optime disseruit scriptor recens editus Philodemus *Περὶ Κακιῶν* p. 30 ed. Saupp., qui scriptor (ut Sauppius recte) in Hesychio, *Βρενός: πυθμήν* — Hemsterhusi l. l. correctionem *Βρενθύς: π.* plane confirmat.

38. *κατὰ δύ'* Jacobitius. *καταδύ'* A. *κατὰ δύο* v. *ἢ τέτταρας* TUV. *καὶ τέτταρας* ΦΑΩ et edd. vett. *δύ' ὀβολοὺς ἢ τέτταρας*] (Luc.) Asin. c. 3 fin.: *τριῶν ἢ πέντε ἡμερῶν.* recte de hoc usu Courierius ad Asinum p. (183) judicavit, non item Dobraeus in Adversarr. I p. 564. *καὶ ὁ οἰκονόμος*] *ὁ* om ΦΑCΩ.

οὗτος μὲν καὶ ἄλλην θεραπείαν, καὶ ὁ ἐπίτροπος] ita correxi. libri (ita diserte ΦΑCΩ): *οὗτος μὲν καὶ ἄλλος θεραπείας τρόπος* praeter Y, ubi (e conjectura scilicet) exstat: *οὗτος μὲν καὶ ἄλλον θεραπείας τρόπον.* geminus locus, ad cujus normam exacta est, emendationi meae fidem faciet, supra c. 12 fin: *οὐκ ἀντιλέγει δὲ οὔτε ὁ ἐπίτροπος οὔτε ὁ οἰκονόμος.* tum ab initio parentheseos *οὗτος μὲν* saepe ponitur, uti De Luctu c. 6. sententiam partim unus perspexit Solanus, qui ad v. *οὗτος* haec adscripserit: „muneribus scilicet, non obsequio tantum.“ ceterum barbara sunt

καὶ ἄλλην θεραπείαν, καὶ ὁ ἐπίτροπος, οὐκ ἀμελητέος δὲ
οὐδ᾽ ὁ ξύμβουλος καὶ φίλος. καὶ τὸ ληφθὲν ἤδη προ-
ωφείλετο ἱματιοκαπήλῳ ἢ ἰατρῷ ἢ σκυτοτόμῳ τινί. ἄδω-
ρα οὖν σοι τὰ δῶρα καὶ ἀνόνητα, * 39. πολὺς δὲ ὁ 698
φθόνος. καί που καὶ διαβολή τις ἠρέμα ὑπεξανίσταται
πρὸς ἄνδρα ἤδη τοὺς κατὰ σοῦ λόγους ἡδέως ἐνδεχό-
μενον· ὁρᾷ γὰρ [ἤδη] σὲ μὲν ὑπὸ τῶν συνεχῶν πόνων
ἐκτετρυχωμένον καὶ πρὸς τὴν θεραπείαν σκάζοντα καὶ
ἀπηγυδηκότα, τὴν ποδάγραν δὲ ὑπανιοῦσαν. ὅλως γὰρ
ὅπερ ἦν νοστιμώτατον ἐν σοὶ ἀπανθισάμενος, καὶ τὸ
ἐγκαρπότατον τῆς ἡλικίας καὶ τὸ * ἀκμαιότατον τοῦ 699
σώματος ἐπιτρίψας, καὶ ῥάκος σε πολυσχιδὲς ἐργασάμε-
νος ἤδη περιβλέπει, σὲ μὲν οἷ τῆς κόπρου ἀπορρίψει
φέρων, ἄλλον δὲ ὅπως τῶν δυναμένων τοὺς πόνους καρ-
τερεῖν προσλήψεται. καὶ ἤτοι μειράκιον αὐτοῦ ὅτι ἐπεί-
ρασας τότε, ἢ τῆς γυναικὸς ἄβραν παρθένον γέρων ἀνὴρ

---

et quae libri habent *ἄλλος θεραπείας τρόπος* et quod in Y est: *θεραπευτέος — ἄλλον θεραπείας τρόπον.* graece vero id unum quod supra restitui dictum est: *θεραπεύω σε ἄλλην θεραπείαν.* vide pauca de multis Aeschyl. Prometh. v. 765: *γαμεῖ γάμον τοιοῦτον* et Herodot. II, 1: *διδοῖ ποιμένι τρέφειν — τροφήν τινα τοιήνδε.* *οὐδ᾽*] *οὐδὲ* ΦΑ. *ξύμβουλος* libri omnes (diserte Φ et qui *ξυμβουλος* A). *ξύμβολος* m. *ἤδη*] *ὁ ἤδη* a. *ἄδωρα* X, fortassis e conjectura. libri (diserte ΕΦΑ) et edd. vett. *ἄωρα.* hisce verbis *ἄδωρα — καὶ ἀνόνητα* respicitur ad Soph. Ajac. v. 664: *ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα*, ubi aliae imitationes ab Lobeckio indicatae sunt. c. 38 fin. et c. 39 init. interpungebatur *καὶ ἀνόνητα. πολὺς δὲ ὁ φθόνος καί που —.* at cohaerent verba: *καὶ ἀνόνητα, πολὺς δὲ ὁ φθόνος.* tum demum a verbis *καί που* nova sententia incipit.

39. *ὑπεξανίσταται*] *ἐξανίσταται* Δ. *ὁρᾷ γὰρ* [*ἤδη*]. hic *ἤδη* deleo ut natum e praegressis: *πρὸς ἄνδρα ἤδη —.* *θεραπείαν*] *θεραπίαν* A. *ἀπηγυδηκότα*] *ἀπηγυδακότα* A (ita A) C. *ὑπανιοῦσαν*] malim *ὑπιοῦσαν.* *ὅπερ ἦν* ΦΑCΩ et v. *ὅσον περ ἦν* Δ. conjeceram in Quaestt. L. p. 39: *ὅ τι περ ἦν* probante Cobeto V. L. p. 312. et Lucianum ita loqui solere certum est. attamen vulgatae *ὅπερ* Aristophaneum illud convenit in Acharn. v. 153: *καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος | ἔπεμψεν ὑμῖν.* *τῆς ἡλικίας*] concinnitatis lex suadet, ut post haec verba participium addatur, veluti *δρεψάμενος.* *ἐπιτρίψας*] *ἐπιστρέψας* Δ. *ἀπορ-*

